suam terram incolerent, annua tributa a Sedekia accipiens. novem annos illo tributa reddente pacati fuerunt Israelitae. sed eo anno Sedekias defecit omnique superbia et deum et regem offendit effecitque ut iterum Nabuchodonosor Hierosolyma peteret. qui quum secundo obsessionis anno urbe potitus esset, et templum incendit et coram Sedekiae oculis filios eius necavit. ipsum excaecavit et compedibus vinctum cum omni populo Babylonem duxit, constituto relictorum duce Galia Achikan filio. hunc nobiles deseruerunt et trucidarunt, et Chaldaeos extimescentes emigrarunt, profecti in Aegyptum, ubi non multo post corrupti sunt, sectatores facti Aegyptiacae superstitionis.

Sedekias autem abductus est quum omnino regnasset annos 11. erat tum temporis summus sacerdos Areas et prophetarunt in Iudaea Ieremias in Babylone Daniel. is altero exilii et Sedekiae regni anno interpretatus est somnium regi Nabuchodonosor. Iesekiel 5 eius anno prophetavit. postea Naum et Malachias prophetarunt. Sedekia mortuo Babylone per reliquos 70 annorum post 11 annos Sedekiae re-

ὑποτεταγμένοι. οὗτος ὁ Ναβουχοδονόσορ τρίτον ἐπόρθησε τὰ Ἱεροσόλυμα, πρῶτον μὲν ὅτε ἐν τῷ τρίτῳ ἔτει Ἐλιακεὶμ ἀνῆλθε καὶ ἔλαβεν αὐτόν τε Ἰεχονίαν καὶ τὴν τούτου μητέρα καὶ σὺν τῷ ἄλλῳ πλήθει τὸν προφήτην Ἰεζεκιήλ, ἔτος ἄγων τῆς βασιλείας πρῶτον· δεύτερον δὲ ὅτε ἐν τῷ τρίτῳ μηνὶ Ἰεχονίου, τοῦ καὶ Ἰωακείμ, ἀνῆλθε καὶ ἔλαβε σὺν ἑτέροις τὸν Δανιὴλ καὶ Ἀνανίαν καὶ Μισαὴλ καὶ Ἀζαρίαν, ἔτος ἄγων αὐτὸς ὄγδοον τῆς βασιλείας· τὸ δὲ τρίτον ὅτε ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκίου ἀνῆλθε, καὶ τὸν μὲν ναὸν ἐνέπρησε, τὸν δὲ Σεδεκίαν ἐξετύφλωσε, καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν ἑτέροις κατέσφαξε, καὶ τὸ λοιπὸν πλῆθος ἀπήγαγεν εἰς αἰχμαλωσίαν, ἔτος ἄγων αὐτὸς τῆς βασιλείας ἐννεακαιδέκατον.

Ναβουχοδονόσορ πρὸς τοῖς δεκαεννέα ἔτεσιν οἷς πρότερον ἐκράτησε, βασιλεύει ἔτη εἴκοσι καὶ πέντε. προεφήτευον δὲ ἐπ' αὐτοῦ οἱ εἰρημένοι Δανιὴλ καὶ Ἰεζεκιήλ. Μαρωδὰχ τοῦτον διαδεξάμενος βασιλεύει ἔτη δώδεκα. Βαλτάσαρ ὁ τούτου ἀδελφός, υἱὸς Ναβουχοδονόσορ, ἐβασίλευσεν ἔτη τέσσαρα· ἔτι ἐπὶ τούτου Δανιὴλ προφητεύει, καὶ ἐπιλύεται αὐτῷ τὸ ὅραμα ὃ δειπνῶν ἐθεάσατο καὶ πίνων εἰς τὰ ἱερατικὰ ἐκπώματα. τοῦτον ἀκολούθως τῇ τοῦ ὁράματος ἑρμηνείᾳ κατὰ τὴν ἐχομένην νύκτα Δαρεῖος ἀνελών, ὁ τοῦ Ἀσουήρου υἱός, ἐκράτησε τῆς ἀρχῆς. Δαρεῖος ὁ εἰρημένος τοῦ Ἀσουήρου υἱός, ὃς ἐπεκλήθη Ἀστυάγης, ἐβασίλευσεν ἔτη δεκαεπτά.

15. αὐτοῖς C 23. ὃς om C

gni, regnarunt subpraefecti. hic Nabuchodonosor tertium Hierosolyma delevit. primum quidem quum tertio anno Eliakim profectus esset, et cepisset ipsum Iechoniam et eius matrem et cum reliqua multitudine Iesekiel prophetam, anno regni sui primo; secundum quum tertio mense Iechoniae, qui etiam Ioakim dicitur, profectus cum ceteris Danielem et Ananian et Misaelem et Asariam cepisset, anno regni sui 8; tertium denique quum 11 anno Sedekiae proficisceretur, et templum incenderet, Sedekiam excaecaret et eius filios cum aliis necaret, reliquam multitudinem in exilium duceret, anno 19 regni sui.

Nabuchodonosor postquam 19 annos antea regnavit, 25 annos imperium obtinuit. prophetabant autem qui iam nominati sunt, Daniel et Iesekiel. Marodach hunc secutus 12 annos regnavit. Baltasar eius frater, Nabuchodonosor filius 4 annos regnavit. etiam sub hoc Daniel prophetavit et explicatum est ei visum, quod coenans viderat et bibens ex sacerdotalibus poculis. hunc, ut visum monstraverat, insequenti nocte, Darius Asueri filius interfecit, et reguo potitus est.

ἐπὶ τούτου Δανιὴλ εἰς τὸν λάκκον ἐμβάλλεται τῶν λεόντων, καὶ μηδὲν ὑπ' αὐτῶν παθὼν ἑβδομαῖος ὑπὸ τοῦ βασιλέως ἀνιμᾶται, καὶ τῶν ἑβδομάδων αὐτῷ τὸ μυστήριον ἀποκαλύπτεται. καὶ εἴ τις ἀκριβῶς τῶν ἑβδομάδων ἐξετάσαι βουληθείη τὸν λόγον καὶ διαριθμήσασθαι τοὺς χρόνους, ἀρξάμενος ἀπὸ ἐξόδου λόγου κατὰ τὸν προφήτην τοῦ οἰκοδομηθῆναι Ἱερουσαλήμ, τουτέστιν ἀπὸ Νεεμίου υἱοῦ Ἀχελῆ, τοῦ ἀρχιοινοχόου Ἀρταξέρξου, ὃς ἀξιώσας καὶ ἐπιτραπεὶς ἄνεισιν οἰκοδομήσων τὰ Ἱεροσόλυμα, εὑρήσει τὰς ο' συμπεραιουμένας ἑβδομάδας, τουτέστι τετρακόσια ἐνενήκοντα ἐπὶ τὸν καιρὸν ἐκεῖνον, ὅτε παλαιοῦται τὸ παράπτωμα καὶ συντελεῖται ἡ ἁμαρτία καὶ σφραγίζεται ὅραμα καὶ προφητεύει καὶ χρίεται ἅγια ἁγίων, τουτέστιν ἐπὶ τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ τὴν λοιπὴν πραγματείαν.

Κῦρος ὁ Πέρσης καταλύσας τὴν Μήδων καὶ Ἀσσυρίων δυναστείαν, κρατήσας τε τῆς Ἀσίας ἁπάσης, ἐβασίλευσεν ἔτη λα'. τούτου τῷ πρώτῳ ἐνιαυτῷ ἑβδομηκονταετὴς χρόνος τῆς μετοικεσίας συμπληροῦται. ἐν δὲ τῷ ἐρχομένῳ ἔτει συγχωρεῖ τοὺς δυναμένους τῶν Ἑβραίων οἰκίζειν ἀνελθόντας τὰ Ἱεροσόλυμα, καὶ τὸν ναὸν ἀνοικοδομηθῆναι προσέταξε. τῆς δὲ ἐπανόδου ἡγεῖτο Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ μέγας ἱερεὺς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιήλ, καὶ προεφήτευον Ἀγγαῖος καὶ

17. τούτῳ C

hic Darius Asueri filius qui nominabatur Astyages, regnavit 17 annos. sub eo Daniel in foveam leonum coniectus est, a quibus nihil perpessus septimo die a rege sursum tractus est. atque hebdomadum mysterium ei revelatum est; et si quis diligenter rationem hebdomadum computare velit et tempora numerare, incipiens ab exitu, quo secundum prophetam aedificata sunt Hierosolyma i. e. a Neemia, Achele filio, Artaxerxis primo pocillatore, qui sua sponte et cum permissu regis profectus est, ad aedificanda Hierosolyma; is inveniet 70 hebdomadas omnes peractas, i. e. 490 annos usque ad illud tempus, quo deletur peccatum, et vitium finitur, visumque probatur, quo prophetat et ungitur sanctus sanctorum, i. e. usque ad Christi praesentiam et reliqua facta.

Cyrus Persa everso Medorum et Assyriorum imperio tota Asia potitus annos 31 regnavit. huius primo anno tempus 70 annorum captivitatis completum est. procedente anno iis Hebraeorum qui possent, permisit abire, et Hierosolyma incolere et templum restituere eos iussit. duxit Israelitas redeuntes Iesus, Iosedek filius, magnus sacerdos et Zorobabel, Salathiel filius et prophetarunt Angaeus et Zacharias, Addo filius. quum vero ii, qui cum Iesu profecti erant templi fun-

Ζαχαρίας ὁ τοῦ Ἀδδώ. καταθέμενοι δὲ οἱ περὶ τὸν Ἰησοῦν τοῦ ναοῦ τὴν ἕδραν, ἐφ' ὅλα μβ' ἔτη τὸ ἔργον ἐκωλύοντο συμπεραιῶσαι, μέχρις οὗ Δαρεῖος ὁ υἱὸς Ὑστάσπεω δευτέρῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας τοὺς ἐμποδίζοντας ἀναστείλας τελείαν ἐπιτρέπει τοῦ ναοῦ τὴν κατασκευήν, καὶ συμπληροῦται ἐν ἄλλοις τέτρασιν ἔτεσιν, ὥστε συντελεσθῆναι αὐτὸν ἐν ὅλοις ἔτεσι τεσσαρακονταέξ. φανερὰ δέ ἐστι τῶν ὑποκειμένων ἡ ἀπόδειξις. Καμβύσης ὁ καὶ Ἀρταξέρξης (ὁ αὐτὸς δέ ἐστιν ὁ καὶ ἐν τῷ Ἔσδρα λεγόμενος Ἀρθασασθὰ) τὸν Κῦρόν ὁ υἱὸς διαδεξάμενος ἐβασίλευσεν ἔτη ὀκτώ. Σφενδάτις καὶ Κιμάρδιος ἀδελφοὶ Μάγοι, Μῆδοι τῷ γένει, ἐπιθέμενοι βασιλεύουσι μῆνας ἑπτά. Δαρεῖος ὁ Κύρου μὲν ἀπόγονος, Ὑστάσπου δὲ υἱός, τοῖς Μάγοις ἐπιθέμενος καὶ κρατήσας ἐβασίλευσε μέχρι συμπληρώσεως Ἱερουσαλὴμ ἔτη ἓξ καὶ πρὸς τούτοις ἄλλα τριάκοντα, ὥστε βεβασιλευκέναι ἔτη λϛ'. κατὰ τούτους τοὺς χρόνους Πυθαγόρας ὁ φιλόσοφος ἐτελεύτησε καὶ Ἱπποκράτης ὁ ἰατρὸς ἐγνωρίζετο. Ξέρξης ὁ Δαρείου υἱὸς ἐβασίλευσεν ἔτη κ'. Ἀρτάβανος ἐβασίλευσε μῆνας ζ'. Ἀρταξέρξης ὁ Ξέρξου ὁ μακρόχειρ (καὶ οὗτος ἐν τῷ Ἔσδρα Ἀρπασασθὰ κέκληται) ἐβασίλευσεν ἔτη μα'. ἐπὶ τούτου τὰ κατὰ Ἐσθὴρ καὶ Μαρδοχαῖον καὶ Ἀμμὰν ἐπράχθη· καθ' ὃν καιρὸν καὶ Ἔσδρας προεφήτευε. συγχωρήσαντος Ἀρταξέρξου Ἔσδρας ὁ ἱερεὺς τοὺς ὑπολοίπους ἀναγαγὼν εἰς Ἰσραὴλ

7. ἡ om C

damentum iecissent, per totos 42 annos opus finire impediti sunt, donec Darius Hystaspis filius altero regni anno eos qui opus impediebant repulit et aedificationem templi ad finem perducendam curavit, quod finitum est 4 annis, ita ut aedificatum sit totis 46 annis. perspicua autem est harum rerum comprobatio. Cambyses, qui etiam Artaxerxes nominabatur (est autem ille idem, qui ab Esdra Arthasastha nominatur) Cyrum patrem secutus annos 8 regnavit. Sphendatis et Cimardius fratres Magi, genere Medi, regnum adepti, 7 menses administrarunt. Darius ex Cyri gente, Hystaspis filius Magos aggressus est iisque superatis regnavit 6 annos usque ad finitam Hierosolymorum aedificationem et praeterea 30 annos, ita ut omnino regnarit 36 annos. hisce temporibus Pythagoras philosophus mortuus est et Hippocrates medicus clarus fuit. Xerxes Darii filius annos 20 regnavit. Artabanus regnavit menses 7; Artaxerxes Xerxis filius longimanus (qui et ipse ab Esdra Arpasastha nominatur) 41 annos regnavit. sub hoc facta sunt illa quae de Esther et Mardochaeo et Amman narrantur; etiam Esdra illo tempore prophetavit. cum permissu Artaxerxis Esdra sacerdos reliquos in Israel reductos legem edocuit. Neemias

τὸν νόμον ἐξεπαίδευε. Νεεμίας τε ὁ ἀρχιοινοχόος Ἀρταξέρξου, ἀνὴρ ἐκ γένους ὢν ἱερατικοῦ, παρακαλέσας τὸν βασιλέα καὶ ἐπιτραπεὶς ἄνεισιν εἰς τὴν Ἰουδαίαν καὶ τὴν Ἰσραήλ. τειχίζει δὲ αὐτήν, τῶν ἐπιθεμένων ἕνεκα ὅπλοις τοὺς ἐνεργοῦντας περιτειχίσας, καὶ τὸν λαὸν σὺν τῷ Ἔσδρᾳ τῷ Μωϋσέως ἐξεπαίδευε νόμῳ, πᾶσαν ἐξ αὐτῶν Ἑλληνικὴν ἀποκινήσας ἀγωγήν· καὶ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος ἡ πόλις. ὅθεν ἄρχονται ἀριθμεῖσθαι αἱ ο' ἑβδομάδες αἱ ἐν τῷ Δανιὴλ εἰκοστῷ ἔτει τῆς βασιλείας Ἀρταξέρξου. ἐντεῦθέν φασι τὰς ἑβδομάδας ἀριθμεῖσθαι τὰς ἑβδομήκοντα τὰς ἐν τῇ τοῦ Δανιὴλ ὀπτασίᾳ μέχρι τῆς τοῦ κυρίου παρουσίας καὶ τῶν ἑξῆς ἐπιβεβηκότων. φανερὸν δέ ἐστιν ὅτι αἱ ἑβδομάδες ποιοῦσιν ἔτη υζ. κατὰ τούτους τοὺς χρόνους Σωκράτης ἐγένετο.

Ξέρξης ὁ Ἀρταξέρξου υἱὸς τὴν ἀρχὴν διαδεξάμενος βασιλεύει μῆνας δύο. Σουγδιανὸς βασιλεύει μῆνας ἑπτά. Δαρεῖος ὁ Ξέρξου ὁ ἐπικληθεὶς Νόθος ἀνελὼν τὸν Σουγδιανὸν ἐβασίλευσε Περσῶν ἔτη ιθ'. Ἀρταξέρξης ὁ Δαρείου καὶ Παρυσάτιδος τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη μβ'. κατὰ τούτους τοὺς χρόνους Πλάτων ὁ φιλόσοφος καὶ Ἀριστοτέλης ἐγνωρίζετο. Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος ἐβασίλευσεν ἔτη κβ'. Ναρσῆς τοῦτον διαδεξάμενος ἐβασίλευσεν ἔτη δ'. Δαρεῖος ὁ Ἀρσάμου ἐβασίλευσε μετὰ τὸν Ναρσῆν ἔτη ς'. Ἀλεξάνδρου δὲ τοῦ Μακεδόνος Πέρσαις ἐπικειμέ-

11. τῆς om C

quoque primus pocillator Artaxerxis, vir ex genere sacerdotali, exorato rege huic rei praefectus, in Iudaeam et Israel profectus est. atque communivit eam operas propter lacessentes hostes armis defendens. idem cum Esdra populum Mosis legibus erudivit, omnem graecum cultum expellens. exstructa autem est urbs ampla et moenibus cincta. hinc numerantur 70 hebdomades, de quibus est apud Danielem, anno 20 regni Artaxerxis. inde dicunt numerari hebdomades 70, quas vidit Daniel usque ad domini praesentiam et reliquas, quae deinceps secutae sunt. est autem perspicuum efficere hebdomades annos 407. illis temporibus Socrates vixit.

Xerxes, Artaxerxis filius, imperio accepto duos menses regnavit. Sugdianus 7 menses regnavit. Darius Xerxis filius cognomine Nothus interfecto Sugdiano 19 annos in Persis regnavit. Artaxerxes, Darii et Parysatidis filius, patrem secutus 42 annos regnavit. hisce temporibus Plato philosophus et Aristoteles innotuerunt. Artaxerxes cognomine Ochus 22 annos regnavit. hunc secutus est Narses qui 4 annos regnavit. Darius Arsami filius regnavit

νου, Δαρεῖον οἱ περὶ τὸν Βῆσον ἀναιροῦσιν ἐν Βάκτροις, καὶ καταλύεται. ἡ Περσῶν βασιλεία, ἐφ' ὅλοις παρατείνασα ἔτεσι τριακοσίοις, τὰ μὲν τῆς μετοικεσίας ο' τὰ δὲ ἑξῆς σλ', καὶ μεταπίπτει εἰς Μακεδόνας ἡ βασιλεία. Ἀλέξανδρος δηλοῖ Ἰαδδοῦ τῷ ἀρχιερεῖ δοῦναι αὐτῷ συμμαχίαν κατὰ Δαρείου· τοῦ δὲ ἀπειπόντος Τύρον καὶ Γάζαν πόλεις πορθεῖ μετὰ κόπου· ἔνθα καὶ Σάτυρον βλέπει καθ' ὕπνους ἐν τῇ πορθήσει Τύρου, φήσαντος αὐτὸν τοῦ ὀνειροκρίτου "σὰ Τύρος Ἀλέξανδρε." εἶθ' οὕτως ἀνῆλθεν εἰς Ἰσραήλ, καὶ ὑποτάξας αὐτὴν καὶ παρὰ τοῦ ἀρχιερέως λαβὼν συμμαχίαν, καὶ ὡς θεὸν τιμήσας καὶ προσκυνήσας, ὑπεχώρησε πρὸς Πέρσας.

Ἀλέξανδρος ὁ Μακεδὼν τὴν Περσῶν καταλύσας ἀρχὴν περιῆγεν εἰς Μακεδονίαν. οὗτος ἑβδόμῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας χειρωσάμενος Πέρσας ἔτι πρὸς τούτοις ἑπτὰ ἔτεσι βασιλεύει καὶ Περσῶν μετὰ τὸν Δαρεῖον ἔτη ἓξ καὶ μῆνας ἕξ. τούτου τελευτήσαντος ἐν Βαβυλῶνι διαδέχονται τὴν ἀρχὴν ἐπὶ τῆς Μακεδονίας Φίλιππος ὁ ἀδελφὸς αὐτοῦ, Ἀντίγονος δὲ τὴν ἐπὶ τῆς Ἀσίας, Πτολεμαῖος δὲ ὁ Λάγου καὶ Ἀρσινόης τῆς Μελεάγρου θυγατρὸς τὴν ἐπ' Αἰγύπτου, καὶ τὴν ἐπὶ Συρίας Σέλευκος ὁ Νικάτωρ.

Πτολεμαῖος τοίνυν ὁ Λάγου ἐβασίλευσεν Αἰγύπτου ἔτη μ'. κατὰ τούτους τοὺς χρόνους Ἐπίκουρος ὁ φιλόσοφος ἐγνωρίζετο. Πτολεμαῖος ὁ φιλάδελφος ἐβασίλευσεν ἔτη λη'. οὗτος

4. Ἰαδδοῦ Cramerus: codex αἰδοῦς. 8. σοὶ C

post Narsen annos 6. Alexandro autem Macedone Persas fugante Bessi comites Darium Bactris trucidarunt. ac dissolutum est Persarum imperium postquam floruit annos 300, (exilii 70 et deinceps 230) cessitque regnum in Macedones. Alexander renunciavit Iaddu summo sacerdoti, ut societatem secum iniret contra Darium. hoc negante Tyrum et Gazan urbes delevit; ibi Satyrum somnians vidit; dixitque ei somni interpres: "tibi Tyrus Alexander." deinde in Israel profectus eam sibi subiecit, et accepto a summo sacerdote auxilio, illum ut deum honoravit et veneratus est, tum contra Persas profectus est.

Alexander Macedo ademtum Persis imperium Macedonibus tradidit. hic victis 7 regni anno Persis regnavit praeterea 7 annos Persisque post Darium 6 annos et 6 menses imperavit. qui cum Babylone mortuus esset Macedoniae imperium accepit Philippus, frater eius; Asiae regnum Antigonus; Aegypti Ptolemaeus, Lagi et Arsinoes, Meleagri filiae filius, Syriam denique Seleucus Nicator accepit.

Ptolemaeus Lagi regnavit in Aegypto annos 40. illis temporibus Epicurus philosophus innotuit. Ptolemaeus philadelphus annos 38

Ἑβραίους καταδουλωσάμενος εἰς τὴν Ἑλληνίδα μεταβάλλει φωνὴν ἐκ τῆς Ἑβραΐδος τὰς θείας γραφάς, καὶ ποιοῦνται τὴν ἑρμηνείαν ἄνδρες ἑβδομήκοντα ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαινούμενοι. τῆς θείας οὖν γραφῆς ἑρμηνευθείσης καὶ ἀναγνωσθείσης ἐκπλαγῆναί τε τὸν βασιλέα ἐπὶ τῷ κάλλει τῶν θείων λογίων καὶ πάντας τοὺς ἐν τέλει. παρόντος οὖν Μενεδήμου φιλοσόφου καὶ Δημητρίου Φαληρέως, καὶ θαυμαζόντων τὴν δύναμιν τῶν λόγων, ἠρώτησεν ὁ βασιλεὺς ὅτι τοιούτων τῶν θείων λόγων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν; καὶ ἀπεκρίθη Δημήτριος ὅτι οὐδείς ποτε ἐτόλμησε τούτων ἅψασθαι διὰ τὸ καὶ Θεόπομπον θελήσαντα περὶ αὐτῶν παραφροσύνῃ κρατηθῆναι, καὶ ὄναρ ἰδεῖν ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασαμένῳ τὰ θεῖα, καὶ Θεόδεκτον τὸν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων τυφλωθῆναι· ἑκατέρους δὲ ἀποιχομένους τοῦ τολμήματος καὶ τὸ θεῖον ἐξευμενισαμένους ὑγιεῖς γενέσθαι.

Πτολεμαῖος δὲ ὁ εὐεργέτης, ὁ τοῦ φιλαδέλφου καὶ Εὐρυδίκης καὶ Ἀρσινόης, ἐβασίλευσεν ἔτη κϛ'. κατὰ τούτους τοὺς χρόνους Ἰησοῦς ὁ τοῦ Σιράχ, ὁ τὴν Σοφίαν συγγράψας, παρ' Ἑβραίοις ἐγνωρίζετο. Πτολεμαῖος ὁ φιλοπάτωρ ὁ τοῦ εὐεργέτου υἱός, ἐβασίλευσεν ἔτη ιζ'. ἐπὶ τούτου ὁ λαὸς τῶν

9. τῶν] ὄντων τῶν? 11. θεόπεμπον cod 14. τῶν C
15. ἀποσχομένους? 19. καὶ] τῆς?

regnavit. hic subactis Hebraeis in graecam linguam ex Hebraico divina scripta transtulit; interpretationem fecerunt viri 70 sapientia apud Hebraeos insignes. translata igitur divina scripta cum praelegerentur perculsum esse aiunt divinarum sententiarum pulchritudine regem omnesque magistratus. praesentibus autem Menedemo philosopho et Demetrio Phalereo, et admirantibus verborum vim, interrogavit rex, quare divinorum horum verborum nullus historicorum vel poetarum mentionem fecerit. respondit Demetrius neminem unquam ausum esse ea attingere, quod hoc conatus Theopompus insania esset punitus, et somnium vidisset, accidisse sibi illa, quia divina curasset, tum quod Theodectus tragoedus, facta in dramate quodam sacrorum horum librorum mentione excaecatus esset; sed utrumque relicto tentamine quum re divina abstinuissent, sanatos esse.

Ptolemaeus euergetes, filius philadelphi et Eurydices Arsinoes filiae, 26 annos regnavit. his temporibus Iesus, Sirach filius, qui Sapientiam conscripsit apud Hebraeos innotuit. Ptolemaeus philopator, euergetis filius 17 annos regnavit. sub hoc Hebraeorum populus captivus in Aegyptum abductus, hanc fortunam expertus est. iussit

Ἑβραίων αἰχμάλωτος ἐν Αἰγύπτῳ ἀπαχθεὶς τοιοῦτόν τι ἔπαθεν. οὗτος γὰρ προσέταξε τοῖς ἑαυτοῦ ὑπασπισταῖς ἐλέφαντας πεντακοσίους, οὓς εἶχε, ποτίσαι οἶνον λιβανωτόν, ὅπως ἅπαντας τοὺς Ἰουδαίους δι' αὐτῶν ἀπολέσῃ· εὐξαμένων δὲ ἐκείνων οἱ ἐλέφαντες εἰς τοὺς ἰδίους στρατιώτας τε καὶ δήμους ἐμπηδήσαντες πολὺν αὐτῶν ὄχλον ἐν τῇ περιεχούσῃ μανίᾳ κατέσφαξαν· καὶ οὕτως σωθέντες μετὰ εὐχαριστίας ἀπελύθησαν εἰς τὰ ἴδια. Πτολεμαῖος ὁ ἐπιφανής, ὁ τοῦ φιλοπάτορος υἱός, ἐβασίλευσεν ἔτη δ'. Πτολεμαῖος ὁ φιλομήτωρ, ὁ τοῦ ἐπιφανοῦς υἱός, ἐβασίλευσεν ἔτη λε'. ἐπὶ τούτου Ἀντίοχος ὁ ἐπιφανὴς τοὺς Μακκαβαίους μὴ βουλομένους μιαροφαγεῖν ἐκόλαζεν.

Ἐπὶ Πτολεμαίου τοῦ φιλομήτορος ἱεράτευον Ἰουδαίοις Ὑρκανὸς καὶ Ἀριστόβουλος, καὶ Ὑρκανῷ μὲν συνεμάχει τὸ δημοτικόν, Ἀριστοβούλῳ δὲ οἱ ἱερεῖς. ἦν δέ τις Ὀνίας ὀνόματι εὐσεβὴς καὶ δίκαιος ἐκ τῶν ἱερέων, ὃς καὶ ἀνομβρίαν ἔλυσεν εὐξάμενος. τοῦτον ἠνάγκασεν εὔξασθαι περὶ νίκης· ὁ δὲ ηὔξατο λέγων "θεὲ δέσποτα, μήτε τῷ δήμῳ κατὰ τῶν ἱερέων σου μήτε τοῖς ἱερεῦσι κατὰ τοῦ δήμου σου βοηθήσῃς." τοῦτον δὲ εὐθέως ἐλίθασαν. καὶ παρευθὺ ἡ θεία δίκη τούτους μετελθοῦσα ἐπήγαγε κατ' αὐτῶν Πομπήϊον Ῥωμαίων στρατηγὸν ὃς καὶ τὴν πόλιν ἐπόρθησε, καὶ εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων δι' εὐσέβειαν οὐδενὸς τῶν ἱερῶν σκευῶν

17. τούτῳ C

ille cetratos suos 500 quos habebat elephantis vinum ture mistum dare, ut omnes Iudaeos per illos interimeret. precantibus autem illis, elephantes in ipsius milites se converterunt magnamque eorum copiam vesanos interfecerunt. sic illi servati cum gratia in suam terram restituti sunt. Ptolemaeus epiphanes, philopatoris filius 4 annos regnavit. Ptolemaeus philometor, epiphanis filius 35 annos regnavit. eodem tempore Antiochus epiphanes Maccabaeos, impuris cibis vesci nolentes, supplicio affecit.

Sub Ptolemaeo philometore sacerdotium Iudaeorum administrarunt Hyrcanus et Aristobulus; et a Hyrcani quidem parte plebs stabat, ab Aristobuli sacerdotes. erat autem sacerdos quidam, nomine Onias, vir pius et iustus, qui orando siccitatem averterat; hunc coëgerunt victoriam orare. ille autem haec precatus est: deus domine; neque plebi contra sacerdotes tuos, neque sacerdotibus contra plebem tuam fer auxilium. hunc statim lapidavere. et illico eos divina poena persecuta est, adduxitque contra eos Pompeium Romanorum ducem, qui urbem delevit et ingressus in sancta sanctorum pietate adductus

ἥψατο, καίπερ πολλῶν χρημάτων ὄντων, ἀλλὰ καθᾶραι τὸ ἱερὸν καὶ τὰς θυσίας ἐπιτελεῖν προσέταξεν. ἔπεμψε δὲ Ἀριστόβουλος δῶρον Πομπηΐῳ ἄμπελον χρυσῆν διακοσίων ταλάντων ἐγχειρισθεὶς τὴν ἱερατείαν καὶ ἐπικράτειαν τῶν Ἰουδαίων.

Πτολεμαῖος ὁ τοῦ φιλομήτορος ἀδελφός, ὁ δεύτερος εὐεργέτης, βασιλεύει ἔτη κθʹ. Πτόλεμαῖος ὁ Φούσκων ἐβασίλευσεν ἔτη ιζʹ, μῆνας ϛʹ. Πτολεμαῖος ὁ ἐπικληθεὶς Ἀλεξᾶς ἐβασίλευσεν ἔτη ιʹ. Πτολεμαῖος ὁ δεύτερος σωτήρ, ὁ υἱὸς τοῦ δευτέρου εὐεργέτου καὶ Κλεοπάτρας τῆς εὐεργέτιδος, ἐβασίλευσεν ἔτη κʹ. Πτολεμαῖος ὁ ἐπικληθεὶς νέος Διόνυσος ἐβασίλευσεν ἔτη λʹ. Κλεοπάτρα ἡ τοῦ νέου Διονύσου θυγάτηρ τελευτήσαντα διαδέχεται τὸν πατέρα, καὶ συμβασιλεύει αὐτῇ Πτολεμαῖος ὁ ἀδελφός. τοῦτον διενεχθέντα πρὸς αὐτὴν ἀνελοῦσα μόνη κατέσχε τὴν ἀρχήν, καὶ βασιλεύει ἔτη κβʹ. ὅτι ἐν τῷ ἀριθμῷ τῶν χρόνων τετάρτῳ μόνῳ ἔτει τῆς βασιλείας Κλεοπάτρας δεῖ ἀριθμεῖν.

Ἰούλιος Καῖσαρ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Κλεοπάτρας ὑπὸ τῶν Ῥωμαίων ἀναρρηθεὶς ὕπατος, εἰς τὴν ἀνατολὴν σὺν πολλῇ κατελθὼν δυνάμει, καὶ πολλοὺς τῶν αὐτόθι τροπωσάμενος καὶ ὑποφόρους καταστήσας, ἰδίους τῶν τόπων καθίστησιν ἐπιμελητάς. Ἀντίπατρον μὲν οὖν τὸν Ἀσκαλωνίτην τῆς Παλαιστίνης κατέστησε διοικητήν· υἱὸς δὲ ἦν

11. Διονύσιος C 12. Διονυσίου C

ne unum quidem sacrorum vasorum tetigit, quamquam multae ibi erant divitiae; immo purgari templum et sacrificia fieri iussit. Aristobulus autem donum Pompeio misit, vitem auream ducentorum talentorum cum potitus esset sacerdotio et regno Iudaeorum.

Ptolemaeus philometoris frater, alter euergetes 29 annos regnavit. Ptolemaeus Phusco 17 annos et 6 menses; Ptolemaeus cognomine Alexas regnavit annos 10; Ptolemaeus alter soter, alterius euergetis filius et Cleopatrae, euergetidis filiae, 20 annos regnavit; Ptolemaeus cognomine iuvenis Dionysus 30 annos regnavit; Cleopatra, iuvenis Dionysi filia, post mortem patris regnum accepit, regnavitque una cum ea Ptolemaeus frater. hunc exorto inter ipsos odio Cleopatra interfecit et sola imperio potita est, quod 22 annos obtinuit; quapropter in enumerandis annis incipiendum est a quarto anno regni Cleopatrae.

Iulius Caesar quarto anno regni Cleopatrae a Romanis consul creatus in orientem profectus est magnis copiis, multisque ibi populis victis, terris illis curatores praefecit. atque Antipatrum Ascaloni-

Ἀντίπατρος Ἡρώδου τινὸς τῶν ἐν νεωκόροις ἀριθμουμένων καὶ τῶν αὐτόθι τοῦ Ἀπόλλωνος ἱεροδούλων. παῖδα δέ ὄντα ποτὲ τὸν Ἀντίπατρον λησταὶ ἀναρπάσαντες Ἰδουμαῖοι κατεῖχον, λύτρα ὑπὲρ αὐτοῦ κομιεῖσθαι ὑπειληφότες· τοῦ δὲ πατρὸς αὐτοῦ εἰς ἔσχατον πενίας ἐληλακότος ἔμεινε παρὰ τοῖς ἁρπάσασι δουλεύων καὶ τοῖς ἐκείνων ἔθεσι τρεφόμενος. ἀναιρεθέντος δὲ τοῦ Ἀντιπάτρου φαρμάκῳ βασκανίᾳ τῆς πολλῆς εὐδαιμονίας ὑπὸ Βαλλίχου τινὸς Ἰουδαίου, διαδέχονται οἱ παῖδες αὐτοῦ τὴν ἀρχήν, Ἡρώδης καὶ Φασάϊλος. καὶ ὁ μὲν τὴν Ἰδουμαίαν καὶ τὴν Ἱεροσόλυμον ἐκληρώσατο γῆν, ὁ δὲ τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν. γνοὺς δὲ ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεύσας τὸν τοῦ Δαβὶδ τάφον ἀνοίξας τρισχίλια ἔλαβε τάλαντα, ἤνοιξε καὶ αὐτός, καὶ χρήματα μὲν οὐχ εὗρε, κόσμον δὲ χρύσεον καὶ κειμήλια πολλὰ ἀνείλετο. πειραθέντος δὲ αὐτοῦ ἐνδοτέρῳ χωρεῖν, οὗ τὰ σώματα Δαβὶδ καὶ Σολομῶντος ἐτέθησαν, πῦρ ἐξελθὸν δύο τῶν δορυφόρων διέφθειρε. γενόμενος δὲ καὶ εἰς τὴν Αἴγυπτον Ἰούλιος τῆς Κλεοπάτρας κρατύνει τὴν ἀρχήν, τῶν ἐπιτιθεμένων ἀναστείλας τὰς ἐπιβουλάς, καὶ τὰ ἐπὶ τῆς ἀνατολῆς ἅπαντα διοικησάμενος ἐπανῆλθεν εἰς τὴν Ῥώμην.

Γάϊος Ἰούλιος Καῖσαρ.

Γάϊος Ἰούλιος Καῖσαρ ἐβασίλευσεν ἔτη δ' καὶ μῆνας ζ'.

ten Palaestinae procuratorem fecit. filius autem erat Antipatrus Herodi cuiusdam, qui erat ex aedituis, et ex Apollinis in ea regione ministris. hunc Antipatrum cum puer adhuc esset praedones Idumaei rapuerant et retinuerant, pretium pro eo postulantes. redacto autem ad summam paupertatem patre, servus remansit apud raptores, et educatus est eorum moribus. iam cum Ballichas, Iudaeus quidam, ductus invidia magnae felicitatis, Antipatrum veneno occidisset, regnum accepere filii illius Herodes et Phasaïlos, quorum alter Idumaeam et circa Hierosolyma terram, alter Iudaeam et Galilaeam sortitus est. ubi cognovit Hyrcanum, qui ante eum regnaverat, in aperto Davidis sepulchro tria milia talentorum reperisse, ipse aperuit; atque pecuniam quidem nullam invenit, sed ornatum aureum multasque res pretiosas inde sumsit. quum vero ulterius penetrare tentaret, ubi Davidis et Solomontis corpora iacebant ignis prodiit militumque duos combussit. Iulius Caesar in Aegyptum quum venisset, Cleopatrae regnum firmavit, adversariorum insidias defendit, atque orientis rebus ita compositis Romam rediit.

Caius Iulius Caesar.

Caius Iulius Caesar 4 annos et 7 menses regnavit. cognominatus

Καῖσαρ δὲ ἐπεκλήθη, ὃ λέγεται ἀνατομή, ὅτι θανούσης τῆς μητρὸς αὐτοῦ ἐν τῷ ἐννάτῳ μηνὶ ταύτην ἀνατεμόντες ἐξήγαγον αὐτόν. οὗτος καὶ δικτάτωρ ἐκλήθη, ὅ ἐστι μονάρχης· δικτατωρία δέ ἐστιν ἀρχὴ ἀνυπεύθυνος. μετωνόμασται δὲ ὁ ἐπονομαζόμενος Κυιντίλιος μὴν Ἰούλιος διὰ Καίσαρα, ὡς ἐν τούτῳ αὐτοῦ μοναρχήσαντος. ὁ αὐτὸς Ἰούλιος μεγίστοις ἀγῶσι Γερμανοὺς καὶ Γάλλους καὶ Βρετανοὺς χειρωσάμενος, ὑποφόρους τοῖς Ῥωμαίοις πεντακοσίας πόλεις οἰκουμένας κατεστήσατο. τούτῳ ἐτέχθη ἵππος ἀντὶ ὁπλῆς χηλὰς ἔχων, καὶ μηδένα ἕτερον ἀναβάτην δεχόμενος ἢ αὐτόν, ὡς ὁ Βουκεφάλας τὸν Ἀλέξανδρον. τούτῳ μέλλοντί ποτε τὴν αὔλειον ἐξιέναι θύραν ἀπερχομένῳ ἐπὶ τὸ βουλευτήριον εἰκὼν αὐτοῦ πρὸ τῶν θυρῶν ἑστῶσα αὐτομάτως κατέπεσε, καὶ πρὸς τούτῳ χάρτην αὐτῷ τις ἐπέδωκεν ἔχοντα πᾶσαν τὴν κατ' αὐτοῦ μελετωμένην ἐπιβουλήν· καὶ νομίσας ἄλλο τι εἶναι, καὶ μὴ ἐντυχὼν ἀλλὰ δεδωκὼς ἑτέρῳ φυλάττειν, ἐσφάγη ὑπὸ Βρούτου καὶ Κασσίου ἐν τῷ βουλευτηρίῳ.

Ὀκτάβιος Αὔγουστος.

Ὀκτάβιος Αὔγουστος Καῖσαρ ἐβασίλευσεν ἔτη νς'· ἀφ' οὗ Αὔγουστοι οἱ Ῥωμαίων βασιλεῖς καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, ὅ ἐστι Σεβαστός, Σεξτίλιος πρὶν ὀνομαζόμενος. τῇ

6. *μέγιστος* C

est Caesar i. e. dissectio, quia mortua matre eius nono mense, eam dissecantes eum protulerunt. dictus est idem dictator, h. e. monarchus; dictatura autem est summum imperium. nominatus est qui antea dicebatur Quintilis mensis, Iulius, Caesaris gratia, quoniam eo regnum adeptus est. idem Iulius maximis certaminibus Germanos Gallos et Britannos devicit, et 500 urbes Romanis tributarias fecit. huic natus est equus, qui pro solidis ungulis bifidas habebat, neque quemquam praeter ipsum equitem patiebatur sicuti Alexandri Bucephalus. exituro quondam Caesare ex vestibuli porta, et in senatum ituro, simulacrum eius, quod ante ostium stabat, concidit; quo facto homo quidam chartam ei dedit, qua omnes contra eum inita consilia continebantur; Caesar ratus aliud quid esse, non inspexit chartam, sed dedit cuidam asservandam, et a Bruto et Cassio in senatu necatus est.

Octavius Augustus.

Octavius Augustus Caesar 56 annos regnavit, a quo Augusti dicti sunt Romanorum reges, et mensis Augustus i. e. venerandus, qui an-

δὲ νυκτὶ ᾗ ἐγεννήθη, εἶδεν ὁ πατὴρ αὐτοῦ καθ' ὕπνους ἐκ τῶν κόλπων τῆς γυναικὸς αὐτοῦ τὸν ἥλιον ἀνατέλλοντα. Ἀντώνιος δὲ στρατηγὸς καὶ ὕπατος Ῥωμαίων, ἀνελὼν Κάσσιον καὶ Βροῦτον τοὺς φονεύσαντας Ἰούλιον Καίσαρα, ἦλθεν ἐν Συρίᾳ ἔρωτι κρατηθεὶς Κλεοπάτρας· ὅθεν ἐπανελθεῖν εἰς Ῥώμην οὐκ ἐγνώκει ὡς λόγον ἀποδώσων. ὁ γοῦν Αὔγουστος τὴν ἐξ Ἰταλίας συναθροίσας δύναμιν κάτεισιν ἐπὶ Ἀντώνιον, καὶ γενομένης συμβολῆς ἡττᾶται Ἀντώνιος καὶ φεύγει μετὰ τῆς Κλεοπάτρας εἰς Αἴγυπτον. καὶ ὁ μὲν Ἀντώνιος ἑαυτὸν διαχειρίζει, ἡ δὲ Κλεοπάτρα εὐλαβουμένη τὸν ἐν τῇ Ῥώμῃ θρίαμβον καὶ συσχεθεῖσα, ἀσπίδα τὸ θηρίον ἑαυτῇ προσενεγκαμένη τελευτᾷ. Ἥλιος καὶ Σελήνη τὰ ταύτης τέκνα συσχεθέντα προήχθη ἐν τῷ θριάμβῳ Ῥώμης. ἐπὶ Αὐγούστου ἀρχὴν ἡ τετάρτη λαμβάνει βασιλεία, ἣν ὁ Δανιὴλ ἐν τῇ τῶν τεσσάρων θηρίων ὀπτασίᾳ τέταρτον θηρίον φοβερὸν ὀνομάζει. τότε πρῶτον ἐπὶ τῆς τετάρτης βασιλείας ἐμονάρχησεν Αὔγουστος, ὅτε καὶ ὁ τῶν πρώτων τεσσάρων στοιχείων δημιουργός, τὸν τετραπέρατον κόσμον ἐν τούτοις συνδήσας, Ἰησοῦς Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς τὴν ἐκ γυναικὸς ἀειπαρθένου γέννησιν δι' ἡμᾶς κατεδέξατο, ᾧ ἡ ἐπουράνιος ἀνάκειται βασιλεία.

Ἠγαπᾶτο δὲ ὑπὸ Αὐγούστου Μαικήνας ἀνήρ τις σοφός, ὅς ποτε δικάζοντος τοῦ Καίσαρος καὶ πολλῶν θάνατον κατα-

23. θανάτου C

tea Sextilis vocabatur. nocte autem, qua natus est, pater eius in somnio ex uxoris sinu solem vidit orientem. Antonius dux atque consul Romanorum occisis Cassio et Bruto, Iulii Caesaris interfectoribus, in Syriam profectus amore Cleopatrae devinctus tenebatur: unde recusavit Romam reverti ad rationem reddendam. sed Augustus copiis in Italia collectis contra Antonium profectus est et armis congressus eum devicit, qui cum Cleopatra in Aegyptum confugit. Antonius mortem sibi conscivit; Cleopatra autem metuens, ne Romam in triumpho duceretur et terrore percussa aspide sibi admota mortem obiit. Helius et Selene, eius liberi crudeliter Romam in triumpho ducti sunt. sub Augusto quartum imperium initium cepit, quod Daniel in visione quattuor animalium, quartum et terribile animal dixit. tum primum quartum regnum obtinuit Augustus quum etiam is qui prima quattuor elementa creavit universum mundum in illis involvens Iesus Christus, dei filius, ex muliere semper virgine nostra gratia natus est cui est coeleste imperium.

Amabatur ab Augusto Maecenas, vir sapiens qui iudicante quon-

ψηφισαμένου, μὴ δυνάμενος διὰ τὸ πλῆθος τοῦ λαοῦ ἐντυχεῖν αὐτῷ, ἔγραψεν "ἀνάστηθι δήμιε," καὶ σφραγίσας ἔρριψεν ἐν τῷ κόλπῳ αὐτοῦ· ὅπερ ἀναγνοὺς ὁ Καῖσαρ ἀνέστη, κελεύσας ἀργῆσαι τὰ κριθέντα ὑπ' αὐτοῦ. πάλιν δέ τις τῶν στρατιωτῶν φιλούμενος παρ' αὐτῷ ἐδεήθη τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας, εἰπόντος δὲ αὐτὸν μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι καὶ τὴν χρείαν πληρῶσαι, ὀργισθεὶς ἔφη "ἐγὼ μέντοι, ὁσάκις ἂν τῆς ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ' ἐμοῦ ἔπεμψα." ἐρυθριάσας οὖν ὁ Καῖσαρ συναπῆλθε καὶ συνέπραξεν. εἶχε δὲ καὶ Ἀθηνόδωρον τὸν Ἀλεξανδρέα σοφώτατον πάνυ, ὃς ἐν τοῖς αἰσχίστοις ἔργοις τοῦ Καίσαρος ἐλέγχων αὐτὸν ἐπηνώρθου. ὁ δὲ Καῖσαρ πολλάκις ἐν τῇ συγκλήτῳ τὸν Ἀθηνόδωρον ἐπαινῶν προσετίθει ὡς καὶ αὐτὸς ἐκεῖνος ὑπὸ Ἀθηνοδώρου διώρθωται, κακὸν βίον πρότερον ἐσχηκώς. ὁ γοῦν Ἀθηνόδωρος καταγηράσας ᾔτησεν εἰς τὴν ἰδίαν πεμφθῆναι πατρίδα· ἔλεγε γὰρ ὡς τέλειος εἴη ὁ Καῖσαρ κατὰ πᾶσαν φιλοσοφίαν καὶ πρᾶξιν. ὡς δὲ μέλλων ἀπαίρειν ἠσπάζετο αὐτόν, καὶ ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει ἵνα, ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσῃ τί πρακτέον, πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ εἰκοσιτέσσαρα στοιχεῖα· ᾔδει γὰρ αὐτὸν ὀξύθυμον καὶ εὐμετάβλητον ὄντα. ὁ δὲ Καῖσαρ αἰσθόμενος ἔφη "εὖ γε ὑπέμνησάς με ὡς ἀτελής εἰμι· διὰ τοῦτο οὐ συγχωρήσω σοι τῆς

dam Caesare, multosque capitis condemnante, quum per multitudinem populi non posset eum adire, scripsit: "surge carnifex" atque hoc obsignatum ei in sinum iniecit. quod cum Caesar legisset surrexit et iudicia sua differri iussit. quondam miles quidam ei carus quum petiisset, ut in senatu praesens adesset, negante Caesare otium sibi esse, et amicorum cuidam imperante ut adesset et negotium conficeret, miles iratus, "ego, inquit, quoties meo auxilio egebas non alterum pro me misi." erubuit tum Caesar et una cum illo ivit et rem confecit. habuit etiam Athenodorum Alexandrinum, hominem sapientissimum qui in impiis facinoribus eum vituperans correxit. et saepe Caesar in consilio suo laudans Athenodorum dixit, sese ab Athenodoro meliorem redditum esse, quum antea improbe vixisset. hic Athenodorus quum consenuisset, petiit ab Augusto, ut in patriam suam remitteretur, dixit enim Caesarem omni philosophia et omni re perfectum esse. quum vero profecturus esset eum amplexus est et in aurem dixit, ne quid iratus prius fieri iuberet, quam secum 24 litteras pronunciasset; sciebat enim eum iracundum et placabilem esse. his auditis Caesar, "bene, inquit, admones, nondum perfectum

ἐνεγκαμένης ἐπιβῆναι." οὗτος ὁ Αὔγουστος ἀπελθὼν ἐν Δελφοῖς ἠρώτησε τίς μετ' αὐτὸν βασιλεύσει· τοῦ Πυθίου δὲ μηδὲν ἀποκριναμένου, καὶ τοῦ Αὐγούστου πάλιν ἐρωτήσαντος διὰ τί σιγᾷ τὸ μαντεῖον, ἔφη ἡ Πυθία ταῦτα "παῖς Ἑβραῖος κέλεταί με, θεὸς μακάρεσσιν ἀνάσσων, τόνδε δόμον προλιπεῖν καὶ ὁδὸν αὖθις ἱκέσθαι. ἄπιθι τοίνυν λοιπὸν ἐκ δόμων ἡμετέρων."

Τῷ δὲ ͵εφ' ἔτει ἀπὸ κτίσεως κόσμου καὶ τεσσαρακοστῷ δευτέρῳ ἔτει Αὐγούστου ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, ἐν ᾧ ἔτει. καὶ ὁ κύριος ἡμῶν ἐγεννήθη, Ἡρώδου βασιλεύοντος τῆς Ἰουδαίας, ὃν ὁ Καῖσαρ Αὔγουστος προεχειρίσατο. ἐν δὲ τῷ μέλλειν αὐτὸν ἀποβιῶναι κεραυνὸς εἰς τὴν εἰκόνα αὐτοῦ ἐμπεσὼν τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε. συγκαλεσάμενος οὖν τοὺς ὑπάτους καὶ βουλευτὰς εἶπεν ὅτι τὴν Ῥώμην πηλίνην παραλαβὼν λιθίνην ὑμῖν καταλείπω, ἐμφαίνων τὸ στερρὸν τῆς δυνάμεως. παρηγγύησε δὲ τοῖς ἐν τέλει πᾶσιν ἐν τῇ τελευτῇ αὐτοῦ χεῖρας κροτῆσαι καὶ γελάσαι ὡς ἐπὶ μίμου τελευτῆς. τοῦτο δὲ ποιῆσαι διωρίσατο ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον ὡς γέλωτος ἄξιον.

Ἡρώδης οὐ μόνον διὰ τοὺς ἐν Βηθλεὲμ ἀναιρεθέντας ἐπὶ τῇ κατὰ τοῦ Χριστοῦ μανίᾳ παιδοκτόνος ὀνομάζεται, ἀλλὰ καὶ διὰ τοὺς ἰδίους υἱούς. τρεῖς μὲν ἀποκτείνας τῶν

22. κατὰ om C. cf. Cedren. 1 p. 321 11.

me esse, quapropter non concedam tibi, in patriam reverti." hic Augustus Delphos profectus, interrogavit, quis post eum sit regnaturus. Pythia vero nihil respondente iterum rogavit, cur taceret oraculum. tum haec Pythia: "puer hebraeus, deus beatis imperans, iubet me hanc domum derelinquere et revertere; dehinc igitur abi ex sedibus nostris."

Anno 5500 post mundi creationem et 42 Augusti, iussit, omne regnum censeri; atque eo anno natus est dominus noster, regnante in Iudaea Herode, quem Caesar Augustus creaverat. quumque mors eius appropinquaret, fulgur in simulacrum eius incidit primamque nominis literam delevit; tum convocatis consulibus et senatoribus latericiam, inquit, accepi Romam marmoream vobis relinquo, ostendens potentiae suae robur. mandavit omnibus magistratibus se mortuo plaudere et ridere ut post actum mimum, respiciens nimirum in vitam humanam, risu dignam.

Herodes non solum propter infantes quos Bethleem furore in Christum incitatus trucidarat, paedoctonos est appellatus, sed etiam propter suos liberos. nam quum tres e liberis suis et matrem insuper

ἑαυτοῦ παίδων, καὶ τὴν μητέρα τούτοις ἐπικατασφάξας καὶ τὸν τῆς γυναικὸς ἀδελφόν, ἑτέρους τε πολλοὺς τῶν οἰκείων ἀποκτείνει, καὶ πλῆθος οὐκ ὀλίγον Ἰουδαίων διαφθείρει ἐν τῇ αὐτοῦ τελευτῇ. ἰστέον ὅτι τρεῖς ἔσχεν Ἡρώδης ὁ μέγας υἱούς, Ἡρώδην τὸν καὶ Ἀντίπαν, τὸν καὶ ἀποτεμόντα τὸν πρόδρομον, ἐφ' οὗ καὶ ὁ κύριος ἐσταυρώθη ἐπὶ Τιβερίου Καίσαρος· καὶ Ἡρώδην τὸν καὶ Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς ἐγαμήθη, καὶ ἔσχε θυγατέρα Σαλώμην τὴν ὀρχησαμένην· καὶ Ἡρώδην τὸν καὶ Ἀγρίππαν, τὸν ἀνελόντα τὸν Ζεβεδαίου Ἰάκωβον, ὃς καὶ ἀδελφὸς μὲν ἦν Ἡρωδιάδος πατὴρ δὲ Ἀγρίππα καὶ Βερενίκης, ἐφ' ὧν ὁ Παῦλος ἀπελογήσατο κρινόμενος.

Τιβέριος.

εφμά β' τῆς ϱπη' Τιβέριος ἐβασίλευσεν ἔτη κβ' μῆνας ζ'. οὗτος ἔσχε Γάϊον ἀδελφιδοῦν, ἀστρολόγου δὲ τοῦ Θρασύλου γέγονε φοιτητής, ὃς τοσοῦτος ἦν τὴν τέχνην ὡς ἀγανακτήσαντά ποτε τὸν Τιβέριον κατ' αὐτοῦ, καὶ βουληθέντα διὰ τοῦ τείχους αἴφνης αὐτὸν ὠθῆσαι ἐσκυθρώπασεν, ἐρωτήσαντος δὲ Τιβερίου τὴν αἰτίαν ἀπεκρίνατο αἰσθάνεσθαι κλιμακτῆρα ἐγγὺς αὐτοῦ, καὶ τὸν Τιβέριον θαυμάσαντα ἐᾶσαι αὐτόν. οὗτος ἀκούσας τὰ περὶ τοῦ Χριστοῦ διὰ βασιλικοῦ τύπου ἠβουλήθη ἀναγορεῦσαι θεόν. ἀλλὰ τοῦτο μὲν ἀντεπράχθη παρὰ τῆς συγκλήτου· Πιλάτῳ δὲ παραστάσιμος εἰς Ῥώμην ἤχθη, καὶ εἰς τοσαύτην

necasset et uxoris suae fratrem, alios multos cognatorum interfecit et numerum Iudaeorum non parvum morte sua perdidit. sciendum autem est, tres filios Herodi magno fuisse, Herodem qui etiam Antipas nominatur, percussorem antecursoris, sub quo dominus cruci affixus est imperatore Tiberio; alterum Herodem qui etiam Philippus nominatur et primus Herodiam duxerat filiamque habebat Salomen saltatricem, tertium Herodem Agrippam, qui Iacobum Zebedaei filium interfecit et frater fuit Herodiadis, paterque Agrippae et Berenices, sub quibus Paulus in iudicio se defendit.

Tiberius.

Tiberius imperavit 22 annos et 7 menses; hic Caium nepotem habuit et Thrasyli astrologi auditor fuit; qui quidem ita arte valebat, ut iratum quondam sibi Tiberium et parieti se volentem affigere severe aspiceret et Tiberio, causam roganti responderet videre se appropinquare periculum; tum admiratus Tiberius ab eo sese abstinuit. hic quum facta Christi audiisset, pro regia quadam voluntate deum praedicari voluit. sed hoc a senatu irritum factum est. Pilatus

πέπτωκε περίστασιν ὑπὸ Τιβερίου διὰ τὸ σταυρῶσαι τὸν Χριστὸν ὥστε αὐτὸν φονεῦσαι. τὸν δὲ Τιβέριον ὁ Γάϊος ἐν τῇ νόσῳ αὐτοῦ ἱμάτια πολλὰ ἐπιθεὶς ἀπέπνιξε. περὶ δὲ Τιβερίου φασὶν ὅτι βραδέως τοὺς ἄρχοντας διεδέχετο φειδοῖ τῶν ὑπηκόων, καὶ ὅτι ἐρωτηθεὶς διὰ τί οὕτως ποιεῖ, εἶπε τὴν παροιμίαν τῶν ἐπικαθημένων μυιῶν τῷ τραύματι καὶ τοῦ θελήσαντος ἀποσοβῆσαι ταύτας καὶ κωλυθέντος ὑπὸ τοῦ τραυματίου εἰπόντος, ἵνα μὴ ἄλλαι πεινῶσαι αἵματος ἐπέλθοιεν.

Ἐπὶ Τιβερίου ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει αὐτοῦ βαπτίζεται, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τὸ σωτήριον ὑπέστη πάθος, ἐν ἔτει ͵εφλγ΄. γράφει δὲ καὶ Ἰώσηπος περὶ τοῦ κυρίου ἡμῶν "ἔτι κατὰ τοῦτον τὸν καιρὸν ἦν Ἰησοῦς σοφὸς ἀνήρ, εἴ γε αὐτὸν ἄνδρα λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητὴς καὶ διδάσκαλος ἀνθρώπων τῶν ἐν ἡδονῇ τὰ ἀληθῆ δεχομένων." πολλοὺς γὰρ καὶ ἀπὸ Ἑλλήνων ἠγάγετο. ὁ Χριστὸς οὗτος ἦν ὃν Πιλάτος σταυρώσας οὐκ ἐξεπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τῇ τρίτῃ ἡμέρᾳ πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων. ἐπὶ Τιβερίου, μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, ἐκλέγονται ὑπὸ τῶν ἀποστόλων Ματθίας ἀντὶ τοῦ προδότου καὶ Ἰάκωβος ἀδελφὸς τοῦ κυρίου

2. Τιβέριος τῷ τρόπῳ καὶ τῇ γνώμῃ ἦν ἀπηνὴς καὶ οἴνου ἐλάττων· διὸ καὶ Ῥωμαῖοι Τιβέριον (Βιβέριον?) αὐτὸν ἐκάλουν, ὃ σημαίνει παρ' αὐτοῖς τὸν οἰνοπότην. margo cod. 16. ὥς φησιν Εὐσέβιος. margo.

ad tantam calamitatem redactus est per Tiberium propterea quod cruci Christum affixerat, ut sese interficeret. Caius Tiberium aegrotantem multis iniectis vestimentis suffocavit. narrant Tiberium graviter tractasse nobiles, pepercisse humilibus, et interrogatum, cur hoc faceret, proverbium de insedentibus vulneri muscis commemorasse quum qui eas pellere vellet, a vulnere arceretur, ne aliae esurientes advenirent.

Sub Tiberio dominus noster Iesus Christus anno eius decimo quinto baptizatus est, et 18 anno salutiferam passionem tulit, anno 5533. scripsit etiam Iosephus de domino nostro: "erat etiam illo tempore Iesus, homo sapiens, si quidem homo nominandus est, facinora enim edidit admirabilia, docuitque homines, qui libenter veritatem accipiebant." multos enim etiam ex Graecis sibi conciliavit. hic erat Christus quem a Pilato crucifixum non reliquerunt, qui primo eum adamarant. apparuit enim iis rursus vivus tertio die, quod praeter alia innumera miracula sancti prophetae de eo praedixerant. sub Tiberio post discessum domini, servatoris nostri, electi sunt ab

πρῶτος ἐπίσκοπος Ἱεροσολύμων, καὶ διάκονοι τὸν ἀριθμὸν ἑπτά, Στέφανος ὁ πρωτόμαρτυς καὶ οἱ σὺν αὐτῷ. Φίλιππος δὲ ὁ ἐξ αὐτῶν εἷς ποιῶν ἐν Σαμαρείᾳ τεράστια, ἀρθεὶς ὑπὸ πνεύματος ἐπέστη Κανδάκῃ. οὗτος πρῶτος ἐβαπτίσθη ὑπὸ Φιλίππου ἐξ ἐθνῶν, τῆς προφητείας πληρωθείσης ἔργῳ. "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ." ἀλλὰ καὶ Μάγοι Χριστὸν προσκυνήσαντες πρότερον τὴν τῶν ἐθνῶν κλῆσιν ᾐνίξαντο, καὶ Κορνήλιος πρῶτος ἐξ ἐθνῶν Πέτρῳ διὰ πίστεως προσῆλθεν. ἐπὶ τούτοις Παῦλος τὸ τῆς ἐκλογῆς σκεῦος δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ ἀπόστολος δείκνυται.

Γάϊος.

εφμη' κατὰ τὴν σδ'

Γάϊος ἐβασίλευσεν ἔτη τρία καὶ μῆνας θ'. ἦν δὲ μοιχικώτατος πάνυ. οὗτός ποτε προϊὼν κατὰ τὴν ἀγοράν, καὶ πηλὸν ἐν τῇ ὁδῷ ἰδών, ἤγαγε Φλάβιον Οὐεσπασιανὸν τότε ἀγορανόμον ὄντα, καὶ ὡς ἀμελήσαντος τὸν πηλὸν ἐς τὴν ἐσθῆτα αὐτοῦ βληθῆναι ἐκέλευσεν· ὅπερ ἐσήμαινε τὰ κοινὰ τεταραγμένα αὐτὸν ὑπολήψεσθαι. οὗτος ἐσφάγη ὑπὸ Κλαυδίου. ἐπὶ Γαΐου Ἀγρίππας βασιλεύει τῆς Ἰουδαίας, καὶ Σίμων ὁ Μάγος παρὰ Φιλίππου βαπτίζεται, ἑνὸς τῶν ζ' διακόνων.

apostolis Matthias in locum proditoris et Iacobus, domini frater, primus episcopus Hierosolymorum, praeterea diaconi numero 7, Stephanus, primus martyr eiusque collegae. e quibus unus, Philippus, miracula faciens in Samaria a spiritu incitatus obviam factus est Candacae. hic primus paganorum a Philippo baptizatus est, atque ita expleta est facto prophetia: Aethiopia prima manus suas deo protendet. sed etiam magi qui Christum venerati erant, antea significarant, invitatos esse paganos; atque Cornelius primus ex paganis Petro cum fide obviam ivit. post haec Paulus electionis apparatus apocalypsi Iesu Christi apostolus est declaratus.

Caius.

Caius annos 3 et 9 menses regnavit, homo adulterrimus. hic quum aliquando per forum incederet, et lutum in via videret, reum fecit Flavium Vespasianum, qui tum aedilis erat, et propter incuriam, luto vestem eius adspergi iussit, quae res significavit, illum rem publicam turbatam accepturum. interfectus hic est a Claudio. sub Caio Agrippa in Iudaea regnavit et Simo Magus a Philippo, uno e septem diaconis, baptizatus est.

Κλαύδιος.

Κλαύδιος ἐβασίλευσεν ἔτη ιγ' μῆνας ε'. οὗτος δειλὸς ὢν πάντας τοὺς προσιόντας αὐτῷ ἐποίησεν ἐρευνᾶσθαι, μή τι ξιφίδιον ἔχουσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι εἰς φυλακὴν παρειστήκεισαν αὐτῷ· ἐξ οὗ καὶ εἰς τοὺς λοιποὺς εἴθιστο γίνεσθαι. καὶ τοὺς κατηγορήσαντας τῶν ἰδίων δεσποτῶν δούλους καὶ ἀπελευθέρους μονομαχεῖν ἠνάγκαζε καὶ διαφέρεσθαι, τινὰς δὲ καὶ τοῖς οἰκείοις παραδέδωκε δεσπόταις. μύκητα δὲ πεφαρμαγμένον φαγὼν ἐτελεύτησεν. ἐπὶ Κλαυδίου Ἀγρίππας, ὁ καὶ Ἡρώδης, ἀνεῖλεν Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, καὶ Πέτρον ἔθετο ἐν φυλακῇ ὡς ἀναιρήσων αὐτόν. Σίμων δὲ ὁ Μάγος τὸν χριστιανισμὸν ἀποβαλόμενος καὶ Μάγοις προσομιλήσας, ἐν Ῥώμῃ κατελθὼν ὡς θεὸς ἐτιμᾶτό τε καὶ ἐσέβετο διὰ τὰς ὑπ' αὐτοῦ γοητείας. Πέτρου δὲ διὰ ταῦτα ἐπιδημήσαντος τῇ Ῥώμῃ ἡ μὲν τοῦ Σίμωνος ἀπέβη καὶ παραχρῆμα σὺν τῷ ἀνδρὶ καταλέλυτο δύναμις· παρακλήσει δὲ πάντων Μάρκον προετρέψατο Πέτρος ἐκ τῆς διὰ λόγου αὐτοῦ διδαχῆς Ῥωμαίοις τὸ εὐαγγέλιον γράψαι. ὁ δὴ Μάρκος καὶ ἐν τῇ Αἰγύπτῳ στείλας πρῶτος ἐπίσκοπος καὶ κῆρυξ Ἀλεξανδρείας καθίσταται. Ἀγρίππας δὲ λαμπρὰν καὶ χρυσοϋφῆ ἐσθῆτα περιβαλόμενος ἐδημηγόρησεν Ἰουδαίοις· τῶν δὲ φησάντων “θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώ-

8. πεφαρμαγμένον Cramerus, πεφραγμένον cod. 15. ἀπέσβη?

Claudius.

Claudius annos 13 et 5 menses regnavit. hic ita timidus erat, ut omnes qui ad se accederent, inquiri iuberet, num cultrum secum haberent et in conviviis armatos custodes collocaret; unde etiam reliqui morem acceperunt. idem servos libertosque, suorum dominorum accusatores concertare et ita rem probare coegit. nonnullos etiam suis dominis tradidit. mortuus est comeso fungo venenato. sub Claudio Agrippa, qui etiam Herodes nominatur, Iacobum, Iohannis fratrem gladio interfecit et Petrum in vincula coniecit ut eum interficeret. Simo autem magus, repudiata fide Christiana sectatus magos Romam quum esset profectus, ut deus colebatur et honorabatur malis suis artibus. Petro autem eodem tempore Romae commorante Simonis vis statim cum ipso periit. omnium hortatu Petrus Marco, suis sermonibus edocto mandavit, Romanis evangelium scribere. Marcus etiam in Aegyptum profectus primus episcopus et praedicator Alexandriae factus est. Agrippa, veste candida et aurata indutus concionem ha-

πων," ἡσθεὶς ἐπὶ τούτῳ, αὐτίκα παρ' ἀγγέλου ῥομφαίᾳ πληγεὶς τελειοῦται.

Νέρων ὁ υἱὸς Κλαυδίου.

͵εφοέ γ' τῆς ση'

Νέρων ἐβασίλευσεν ἔτη ιγ' μῆνας η', περὶ οὗ λόγιον ἦν

ἔσχατος Αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει·

κατήγετο γὰρ ἐκ τῆς γενεᾶς Αἰνείου καὶ Ῥωμύλου καὶ Αὐγούστου· ὃς τὴν μητέρα καὶ τὴν μνηστὴν ἀνελὼν εὐνοῦχον ἔγημεν. οὗτος ἀνεῖλε τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον καὶ πολλοὺς ἑτέρους μάρτυρας. ᾧ τινὶ διὰ τὸν αἰσχρὸν καὶ ἀσελγῆ βίον αὐτοῦ ἐπέθεντό τινες ἀναιρήσοντες. ὁ δὲ παρεκάλει τοὺς συνόντας αὐτῷ ἀνελεῖν αὐτόν. ὡς δὲ οὐδεὶς τοῦτο ἠνέσχετο πρᾶξαι, "ἐγὼ μόνος" ἔφη "οὔτε φίλον ἔχω τὸν σώζοντα οὔτε ἐχθρὸν τὸν ἀναιροῦντά με. ἀποθανεῖν θέλει ἡ ψυχή, καὶ ἡ χεὶρ οὐχ ὑπηρετεῖ." τελευταῖον δὲ εἰπὼν "ὦ Ζεῦ, οἷος τεχνίτης κιθαρῳδὸς ἀπόλλυται" ἑαυτὸν ἀνεῖλεν. ἀποθανόντος δὲ αὐτοῦ πιλία ὡς ἐλευθερούμενοι Ῥωμαῖοι ἐφόρεσαν. παρ' οὗ καὶ Ἀβλάβιος περὶ τῆς κατ' αὐτοῦ ἐπιθέσεως, ὡς οἰκεῖος αὐτοῦ ὤν, ἐρωτηθεὶς ἔφη "ἐφίλησά σε παντὸς μᾶλλον καὶ ἐμίσησα· ἐφίλησα ἐλπίσας ἀγαθὸν αὐτοκράτορα ἔσεσθαι, μισῶ δὲ ὅτι ταῦτα ποιεῖς· οὔτε γὰρ ἁρματηλάτῃ οὔτε κυνηγῷ οὔτε κιθαρῳδῷ δουλεύειν δύναμαι." εἶτα Γάλβας μὴ

16. πιλία] πολλάκις C. v. Cedrenus I p. 378 6: 19. ἐλπίδας C

buit Iudaeorum quumque dicentibus illis dei esse vocem, non hominis, ea re laetaretur, statim ab angelo gladio percussus extinctus est.

Nero Claudii filius.

Nero annos 13, menses 8 regnavit, de quo sententia ferebatur:

ultimus Aeneadum matris percussor erit rex.

erat enim ex genere Aeneae, Romuli et Augusti. is occisa matre et uxore eunuchum pro uxore habuit. idem Petrum et Paulum apostolos necavit multosque alios martyres. cui quum propter turpem et luxuriosam vitam insidiarentur quidam, petiit a satellitibus suis ut se interficerent. quod quum nemo auderet, "ego", inquit "solus neque amicum habeo servatorem, neque inimicum interfectorem; moriturus est animus, sed ministerium manus recusat." postremo dixit: "Iupiter qualis artifex citharoedus perit" et haec locutus se interfecit. post eius mortem pileis Romani tanquam liberati incesserunt. a Nerone cum interrogatus esset de insidiis ei paratis Ablabius familiaris, respondit longe maxime te amavi et odi; "amavi, sperans bonum te imperatorem fore, odi, quia talia facis, non enim neque aurigae ne-

ὢν ἐξ αἵματος βασιλικοῦ διεδέξατο αὐτόν. Ἀγρίππα τελευτήσαντος Φῆστος καθίσταται διάδοχος ὑπὸ Νέρωνος, Παῦλος δὲ κηρύσσων τὸ εὐαγγέλιον δικαιολογησάμενος ἐπὶ Φήστου πέμπεται πρὸς Νέρωνα, καὶ τὸ μὲν ἀπολογεῖται, δεύτερον δὲ ἐν Ῥώμῃ ἐλθὼν τὴν κεφαλὴν ἀποτέμνεται παρὰ Νέρωνος. ὡσαύτως καὶ Πέτρον τὸν κορυφαῖον ἀνασκολοπισθῆναι προστάττει. ἐπὶ τούτου Ἰουδαῖοι Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ ὠθήσαντες ἐφόνευσαν· καὶ παρευθὺ διὰ τὴν τούτου ἀναίρεσιν Οὐεσπασιανός, στρατηγὸς ὢν Ῥωμαίων, πορθεῖ τὰ Ἱεροσόλυμα, ὡς Ἰώσεπος ἱστορεῖ.

Γάλβας.

Γάλβας ἐβασίλευσε μῆνας θ' ἡμέρας ιγ', ἦν δὲ τῶν εὐπατριδῶν, εἶχε δὲ παραδυναστεύοντα τὸν Ὄθωνα, ὃς ἰδὼν τὸν Γάλβαν Λούκιον εἰς υἱοθεσίαν παραλαβόντα, φθονήσας καὶ τὸ στράτευμα κατ' αὐτοῦ κινήσας, ἀπέκτεινεν αὐτόν. ἀπαιτούμενος δὲ ὁ Ὄθων χρήματα παρὰ τῶν στρατιωτῶν, ἃ ὑπέσχετο αὐτοῖς, ἔφη "οὐ δεῖ αὐτοκράτορα ἀναγκάζεσθαι." Ὄθων ἐβασίλευσε μῆνας τρεῖς ἡμέρας η', ἦν δὲ γένους ἀσήμου. θύων δέ ποτε ἐν τῷ ἱερῷ τὰ τῆς Ἀφροδίτης ᾄσματα τοῖς ἱεροῖς παρέμιξε. καὶ διὰ τοῦτο Βιταλίου αὐτῷ ἐπανα-

4. τὸ] τότε?

que venatori neque citharoedo servire possum." eum Galba excepit, vir non regii sanguinis. mortuo Agrippa in eius locum a Nerone constitutus est Festus. sub quo quum Paulus evangelium renuntians reus factus esset, ad Neronem missus est. ac tum quidem absolutus est, iterum autem quum Romam venisset caput ei a Nerone abscisum est. item etiam Petrum coryphaeum crucifigi iussit. sub eo Iudaei Iacobum, domini fratrem, a cacumine templi deiicientes interfecerunt; et statim propter eius necem Vespasianus, dux Romanorum, Hierosolyma delevit, sic ut memoriae prodidit Iosephus.

Galba.

Regnavit Galba 9 menses diesque 13, vir nobili loco natus. eodem tempore Otho regnum affectavit, qui cum Lucium a Galba adoptari videret, exercitu incitato eum occidit. quum iam Othonem milites pecuniam poscerent sibi promissam, „non decet, inquit, cogi imperatorem." Otho tres menses regnavit diesque 8; genere erat ignobili. qui cum aliquando in templo sacrificaret Veneris cantus sacris miscuit, quumque propterea Vitellius contra eum surgeret, gla-

στάντος ξιφιδίῳ ἑαυτὸν διεχειρίσατο, εἰπὼν "τί γάρ με ἔδει μακροῖς αὐλοῖς αὐλεῖν;" Γάλβας καὶ Ὄθων καὶ Βιτάλιος ἐν πολέμοις ὄντες ὑπὸ στρατιωτῶν ἀνῃρέθησαν. Οὐεσπασιανὸν δὲ τὰ Ἱεροσόλυμα ἐκπορθοῦντα ὡς ἐχέφρονα καὶ ἀνδρεῖον ἡ τῶν Ῥωμαίων σύγκλητος ἀνηγόρευσε βασιλέα.

Βιτάλιος.

Βιτάλιος ἐβασίλευσεν ἔτος ἕν, γένους ἐπιφανοῦς ὤν. οὗτος ἀστρολόγους καὶ ἀστρονόμους καὶ γόητας ἐντὸς ῥητῆς ἡμέρας πάντας ἐκ χωρῆσαι τῆς Ἰταλίας προσέταξεν· ᾧ καὶ πρόγραμμα ἔρριψαν προαγγέλλοντες ἐντὸς ἡμέρας ῥητῆς ἀπαλλαγήσεσθαι αὐτὸν τοῦ βίου, ὃ δὴ καὶ γέγονεν. ἐσφάγη δὲ ὑπὸ στρατιωτῶν.

Οὐεσπασιανός.

,εφπς' τῆς σιβ' Οὐεσπασιανὸς ἐβασίλευσεν ἔτη δέκα ἡμέρας ὀκτώ, ἦν δὲ γονέων ἀσήμων. αὐτοκράτωρ δὲ γέγονεν ἐν Παλαιστίνῃ, ἔτι τὰς πόλεις τῶν Ἰουδαίων πολιορκῶν· ὅστις καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο. ἀνήχθη δὲ ἐν Ῥώμῃ ἀναγορευθεὶς ὑπὸ τοῦ στρατοῦ βασιλεύς, καταλιπὼν Τίτον τὸν υἱὸν αὐτοῦ τὴν Παλαιστίνην πολιορκεῖν. οὗτος τελευτᾷ νόσῳ. περὶ τῆς Οὐεπασιανοῦ ἁλώσεως τῆς Ἱερουσαλὴμ καὶ Τίτου υἱοῦ αὐτοῦ Ἰώσηπος θαυμαστῶς ἱστορεῖ.

dio se interfecit dicens: "cur enim me oportuit magnis tibiis canere?" Galba, Otho et Vitellius bello a militibus trucidati sunt; Vespasianum autem Hierosolyma oppugnantem, utpote sapientem virum et fortem senatus regem creavit.

Vitellius.

Vitellius unum annum regnavit, genere ortus illustri. hic astrologos, astronomos magosque ante certam diem omnes Italia cedere iussit; ei submonitionem dederunt praedicentes ante certam diem eum ex vita excessurum. id ita factum est; trucidatus enim est a militibus.

Vespasianus.

Vespasianus annos 10 diesque 8 regnavit. parentibus natus obscuris imperator factus est in Palaestina, Iudaeorum urbes oppugnans, ubi etiam Iosephum historicum cepit. ab exercitu rex declaratus. Romam profectus est, relicto in Palaestina Tito filio. Periit morbo. de expugnatione Hierosolymorum Iosephus admirabiliter scripsit.

Τῖτος υἱὸς Οὐεσπασιανοῦ.

Τῖτος ἐβασίλευσεν ἔτη δύο μῆνας γ'. οὗτος πολιορκεῖ τὰ Ἱεροσόλυμα. ἀνῃρέθη δὲ ὑπὸ Δομετιανοῦ ἀδελφοῦ, ὃς νοσήσαντα ἔβαλεν αὐτὸν εἰς λάρνακα ξυλίνην χιόνος γέμουσαν ὡς δῆθεν θεραπεύσων, καὶ ἀπέκτεινε. Τῖτος ἀπειλαῖς οὐ τιμωρίαις ἐφόβει μόνον. βασιλεύοντος οὖν αὐτοῦ οὐ παρῆλθεν ἡμέρα ἐν ᾗ τι δῶρόν τινι ἢ εὐεργεσίαν οὐ παρέσχε· βασιλέως γάρ ἐστι τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. ἔλεγε δὲ ὅτι τὸν βλέποντα βασιλέα οὐ δεῖ ἐξέρχεσθαι λυπούμενον.

Δομετιανός.

Δομετιανὸς ἐβασίλευσεν ἔτη ιε' μῆνας ια'. οὗτος τὰς γενέσεις τῶν πρώτων τῆς Ῥώμης ἐρευνῶν, καὶ οὐκ ὀλίγους εὑρίσκων ἐν δυνάμει ἔσεσθαι, ἀνῄρει διὰ προφάσεως, ἀνοσιουργὸς ὢν καὶ ἀνδρομανίας ἀνάμεστος· ἐφ' οὗ Τιμόθεος ὁ ἀπόστολος ἐμαρτύρησε, καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ὡς ὑπεύθυνος ἐν Πάτμῳ τῇ νήσῳ ἐξώριστο. ὁ δέ γε Ἀπολλώνιος ὁ Τυανεὺς τῷ τότε καιρῷ ἀκμάζων, ἐν Βυζαντίῳ ἐλθὼν καὶ παρακληθεὶς ὑπό τινων ἐστοιχείωσεν ὄφεις μὲν καὶ σκορπίους μὴ πλήσσειν, κώνωπας μὴ παρεῖναι, ἵππους μὴ κατοφρυοῦσθαι μήτε μὴν ἀγριαίνεσθαι ἢ κατά τινος ἢ κατ' ἀλλή-

Titus Vespasiani filius.

Titus duos annos mensesque tres regnavit. Hierosolyma expugnavit. interfectus est a Domitiano fratre, qui aegrotantem eum in cistam ligneam nive refertam trusit, scilicet ut eum curaret, itaque interfecit. Titus minando tantum, non puniendo homines terrebat, neque donec imperabat ullum diem intermisit, quin donum vel beneficium cuidam exhibuerit; regis enim est, beneficia et veritatem exercere. dicebat autem non decere, qui regem vidisset moestum exire.

Domitianus.

Domitianus 15 annos regnavit mensesque 11. hic in familias primorum Romanorum inquirens quum invenisset non paucos opibus valere, causas simulans eos interfecit, homo impurus et moechus. sub eo Timotheus apostolus martyr fuit et Ioannes evangelista ut nocens in Patmum insulam est relegatus. Apollonius Tyaneus illo tempore florens Byzantium venit et a quibusdam provocatus angues et scorpiones docuit non vulnerare, culices non pungere, equos non irasci neque contra hominem neque contra alios equos furere. Domitianus

Facta est porro adversus imperatorem a Ioanne Curcua Icanatorum domestico coniuratio, ubi vaticinio de imperatoria dignitate assequenda a quopiam in Blachernis incluso delusus est: ex senatoriis vero reliquisque proceribus ad sexaginta sex usque illi adhaeserunt, inter quos Michael hetaeriarches et Catudares et Myxares et Babutzicus et alii numerabantur. hac autem coniuratione a protovestiario Curcua imperatori detecta, cum forte in circo ludi celebrarentur et illuc omnes convenirent, affuit pariter imperator, et ibidem sedens de iis examen habuit; eisdemque verberibus caesis et coma detonsis, reliquis ad cutem pilos adussit. celebri postmodum comitatu festo annuntiationis celebrato, quo coniurationem ad exitum erant perducturi, illi retro sequebantur nudi et vinculis ligati, sicut praeceperat imperator, ad forum usque. eorum bonis demum publicatis cunctos in exilium egit.

τοις. κατηγορήθη δὲ Λέων ὁ βασιλεὺς παρὰ Σανταβαρηνοῦ
εἰς τὸν πατέρα αὐτοῦ, ὡς ὅτι μαχαίριον ἐπιφέρεται βουλό-
μενος ἀνελεῖν σε μετ' αὐτοῦ· ὅπερ αὐτὸ μαχαίριον διὰ δο-
λίας συμβουλῆς ἐποίησε Λέοντα κατασκευάσαι καὶ φέρειν
70 ἐν τῷ τουβίῳ, εἰπὼν αὐτῷ ὅτι πολλάκις τοῦ πατρός σου ἐπι-
D ζητοῦντος μαχαίριον διὰ χρείαν τινά, ἵνα τί μὴ ἐπίδῳς αὐ-
τό; καὶ τοῦτο κατασκευάσας Λέων ὁ βασιλεύς, διαβληθεὶς
παρὰ τοῦ Σανταβαρηνοῦ καὶ φωραθεὶς ἐν τῷ τουβίῳ τοῦτο
βαστάζων, πολλὰ περὶ τούτου ἀπολογούμενος οὐκ ἠκούετο.
ἐτύφθη οὖν Νικήτας ὁ πρωτοβεστιάριος αὐτοῦ, ὃς γέγονεν
παπίας ἐπὶ Ῥωμανοῦ βασιλέως, καὶ ἄλλοι μετ' αὐτοῦ πολλὰ
δεινὰ πεπονθότες ἐξωρίσθησαν. ὁ δὲ βασιλεὺς Λέοντα κα-
θείρξας ἐν τῷ τρικλινίῳ τὸν Μαργαρίτην ἐβούλετο ἐκτυφλῶ-
σαι αὐτόν, εἰ μὴ Φώτιος ὁ πατριάρχης διὰ πολλῶν παρα-
κλήσεων τοῦτο διεσκέδασεν ἅμα Ζαούτζα Στυλιανῷ μικρῷ
ἑταιριάρχῃ. ἐποίησεν δὲ ἀπὸ ὄψεως μῆνας τρεῖς, θρηνῶν
P. 474 καὶ ὀδυρόμενος καὶ δι' ἐπιστολῶν πολλὰ δυσωπῶν τὸν βασι-
λέα. μεγάλην δὲ πίστιν τοῦ βασιλέως ἔχοντος εἰς τὸν ἅγιον
71 Ἠλίαν, ἀποσυννοψίζει Λέων ὁ βασιλεὺς ἐν τῇ τοῦ ἁγίου
Ἠλίου μνήμῃ. τῆς δὲ προελεύσεως γενομένης ἰδόντες αὐτὸν
οἱ λαοὶ ἐπεφώνησαν τὸ "δόξα σοι ὁ θεός." ὁ δὲ βασιλεὺς
ἀντιστραφεὶς ἀπελογίσατο αὐτοῖς "δοξάζετε περὶ τοῦ υἱοῦ

Iemdecim accubitis nuptiis coronaverat Augustam. exinde imperator Leo ad patrem a Santabareno reus defertur: "gladium gerit, et eo te confodere meditatur." gladiolum illum dolosis suasionibus sibi comparare Leonem fecerat, et in tibiali gestare, dicens ei "patre tuo gladium saepe saepius ex necessitate aliqua requirente, cur tu paratum non exhibes?" imperator itaque Leo gestare disposuit, et eam ob rem a Santabareno calumniam passus est; illumque tibiali tenere deprehensus, defensione quavis instituta, nullatenus audiebatur. eapropter Nicetas, qui Romano imperatore papias factus est, verberibus plurimis caesus est, aliique cum eo plures gravissima perpessi exilio relegati sunt. imperator autem Leonem in custodiam ad Margaritae triclinium coniectum excaecare meditabatur, nisi precibus plurimis una cum Zautza Styliano, hetaeriarcha minore, Photius consilium dissipasset. imperatoris itaque conspectu privatus menses tres, sortem deflens ac plorans et frequentibus scriptis imperatorem interpellans egit. devotione vero summa et in S. Eliam fiducia ferebatur imperator Basilius: Leo quoque ad S. Eliae memoriam in vigiliis noctem egit. imperatore mox solemni processu incedente, videntes eum populi turmae exclamaverunt "gloria tibi deus." imperator conversus respondit eis "filii mei causa laudatis deum? calamitates ab eo pa-

μου, τὸν θεόν; πολλὰς θλίψεις ὑπ' αὐτοῦ ἔχετε ὑπομεῖναι καὶ ἐπωδύνους ἡμέρας." κατηγορήθη δὲ Ἀνδρέας δομέστικος τῶν σχολῶν παρὰ Σανταβαρηνοῦ πρὸς τὸν βασιλέα ὡς τὰ Λέοντος φρονῶν, καὶ διεδέχθη παρὰ τοῦ βασιλέως. ἀντ' αὐτοῦ δὲ προεβλήθη δομέστικος ὁ Στουπιώτης, καὶ ἀπελθὼν μετὰ B λαοῦ ἐν Τάρσῳ ἡττήθη. καὶ πάλιν προχειρίζεται παρὰ τοῦ βασιλέως Ἀνδρέας δομέστικος.

Ἐγένετο δὲ συσκευὴ κατὰ τοῦ βασιλέως παρὰ τοῦ Ἰωάννου τοῦ Κουρκούα δομεστίκου ὄντος τῶν Ἱκανάτων, χρηματισθέντος παρὰ τοῦ ὄντος ἐν Βλαχέρναις ἐγκλείστου· εὑρέθησαν δὲ πολλοὶ μετ' αὐτοῦ τῶν συγκλητικῶν καὶ λοιπῶν ἀρχόντων, μέχρι τῶν ἑξήκοντα ἕξ. ἦν γὰρ Μιχαὴλ ὁ ἑταιριάρχης καὶ ὁ Κατουδάρης καὶ ὁ Μυξάρης καὶ ὁ Βαβούτζικος καὶ οἱ λοιποί. τῆς γὰρ τοιαύτης ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρὰ τοῦ πρωτοβεστιαρίου τοῦ Κουρκούα * * * κατελθόντων C δὲ πάντων ἐξελθὼν βασιλεὺς ἐν τῷ ἱπποδρόμῳ, καὶ καθεσθεὶς ἐκεῖσε καὶ ἀνακρίνας τὰ κατ' αὐτούς, πάντας τύψας καὶ κουρεύσας, τὰς ἔτι περιλειφθείσας τρίχας κατέκαυσεν. μετὰ δὲ ταῦτα ἐξῆλθεν ἐν τῇ προελεύσει τοῦ εὐαγγελισμοῦ, ὅτε καὶ τὴν ἐπιβουλὴν ἔμελλον ποιῆσαι. περιεπάτουν δὲ ὄπισθεν αὐτοῦ γυμνοὶ μέχρι τοῦ φόρου, δεδεμένοι, καθὼς διωρίσατο· εἶθ' οὕτως πάντας δημεύσας ἐξώρισεν.

tiemini plurimas, et lugubres ab eo dies sustinebitis." accusatus est pariter Andreas scholarum domesticus a Santabareno apud imperatorem, quasi Leonis consiliorum particeps, et ea propter ab imperatore dignitate motus est, et in eius locum Stupiotes domesticus suffectus. Tarsum vero cum copiis profectus superatus est. rursum etiam Andreas domesticus restitutus.

Facta est porro adversus imperatorem a Ioanne Curcua Icanatorum domestico coniuratio, ubi vaticinio de imperatoria dignitate assequenda a quopiam in Blachernis incluso delusus est: ex senatoriis vero reliquisque proceribus ad sexaginta sex usque illi adhaeserunt, inter quos Michael hetaeriarches et Catudares et Myxares et Babutzicus et alii numerabantur. hac autem coniuratione a protovestiario Curcua imperatori detecta, cum forte in circo ludi celebrarentur et illuc omnes convenirent, affuit pariter imperator, et ibidem sedens de iis examen habuit; eisdemque verberibus caesis et coma detonsis, reliquis ad cutem pilos adussit. celebri postmodum comitatu festo annuntiationis celebrato, quo coniurationem ad exitum erant perducturi, illi retro sequebantur nudi et vinculis ligati, sicut praeceperat imperator, ad forum usque. eorum bonis demum publicatis cunctos in exilium egit.

Τοῦ δὲ βασιλέως ἐξελθόντος πρὸς τὸ κυνηγῆσαι ἔλαφον ποθὲν ἀναφανέντος παμμεγέθους, ὡς αὐτὸν ὁ βασιλεὺς κα-
D τεδίωκεν, ἐπιστραφεὶς ἦρεν τὸν βασιλέα ἐκ τῆς ζώνης ἀπὸ τοῦ ἵππου μετὰ τοῦ κέρατος αὐτοῦ. φθάσας δέ τις καὶ τὴν σπάθην γυμνώσας, τὴν ζώνην ἐκκόψας, τὸν βασιλέα ἐρρύσατο.
72 μετὰ δὲ τὸ ἀποστραφῆναι ἐκέλευσεν τὴν ζώνην ἀποτεμόντος ἀποτμηθῆναι τὴν κεφαλὴν ὡς γυμνώσαντος τὸ ξίφος κατ' αὐτοῦ, πολλὰ ἀπολογουμένου ὡς ὑπὲρ σοῦ τοῦτο πεποίηκα. ἀλλ' οὐδὲν ὠφέλησεν. ἐκ δὲ τοῦ σπαραγμοῦ τοῦ ἐλάφου νοσηλευθεὶς Βασίλειος τελευτᾷ, καταλιπὼν Λέοντα αὐτοκράτορα καὶ Ἀλέξανδρον.

Λέων.

P. 475 Λέων υἱὸς Βασιλείου ἐβασίλευσεν ἔτη εἴκοσι πέντε μῆνας ὀκτώ. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς κληρικὸς ὢν καὶ σύγκελλος ἦν μετὰ Φωτίου πατριάρχου, ἀνατρεφόμενος παρ' αὐτοῦ καὶ παιδευόμενος. ὁ δὲ αὐτὸς Λέων μετὰ τὸ αὐτοκρατορῆσαι ἀπέστειλεν Ἀνδρέαν στρατηλάτην μετὰ κηρῶν πολλῶν καὶ κληρικῶν καὶ συγκλητικῶν ἐν Χρυσοπόλει, καὶ ἐξήγαγεν Μιχαὴλ ἐκ τοῦ τάφου, καὶ ἔβαλεν ἐν γλωσσοκόμῳ
B κυπαρισσίνῳ, καὶ ἐπὶ κραββάτου θέντες, σκεπάσαντες βασιλικῶς καὶ τιμήσαντες μεθ' ὕμνων καὶ τιμῆς πολλῆς, ἑπομένων

Ceterum ad venandum aliquando progressus imperator cervum praegrandem obvium habuit; eoque feram cursibus insequente, conversus cervus cornu in imperatoris zonam impacto ipsum ex equo sustulit. accurrens autem e comitibus quispiam, nudato ense zonam praescindens, imperatorem liberavit. ille ad se reversus zonam praescindentis, quasi adversum se gladium exserentis, factum licet defensione plurima excusantis, et "liberandi tui gratia hoc admisi" dicentis, adeoque nihil proficientis, caput amputari iussit. verum ex cervi concussione et laceratione morbo correptus Basilius, Leone relicto imperatore et Alexandro, mortuus est.

Leo.

Leo Basilii filius annos quinque supra viginti, menses octo imperavit. Stephanus autem eius frater cum esset clericus, syncellus erat cum Photio patriarcha, ab eo educatus et eruditus. Leo idem post assumptum imperium, Andrea militiae magistro cum cereorum clericorum et senatorii ordinis copia Chrysopolim misso, Michaelis imperatoris corpus e sepulcro eductum cypressino loculo conditum lecticaque impositum regiisque vestibus ornatum hymnisque et pompa

ἐκεῖσε καὶ τῶν ἀδελφῶν αὐτοῦ, ἤγαγον εἰς τοὺς ἁγίους ἀποστόλους καὶ ἀπέθεντο ἐν λάρνακι. μετὰ ταῦτα δὲ ὁ βασιλεὺς ἀπέστειλεν Ἀνδρέαν δομέστικον τῶν σχολῶν ἅμα Ἰωάννῃ Ἁγιοπολίτῃ σοφωτάτῳ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου· καὶ ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας ἀνελθόντες καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας ἐπαναγνόντες τοῦτον τοῦ θρόνου κατήγαγον, καὶ ἀνήγαγον αὐτὸν ἐν τῇ μονῇ τῶν Ἀρμενιανῶν τῇ λεγομένῃ τοῦ Βόρδου. προεβάλετο δὲ ὁ βασιλεὺς τὸν Στυλιανὸν Τζαούτζαν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου· ἀνήγαγεν δὲ Στέφανον αὐτοῦ ἀδελφὸν ἐν τῷ πατριαρχείῳ, C καὶ πρὸ τῶν Χριστοῦ γέννων χειροτονεῖται πατριάρχης ὑπὸ Θεοφάνους τοῦ πρωτοθρόνου καὶ λοιπῶν ἀρχιερέων, ποιήσας ἐν τῷ πατριαρχείῳ ἔτη ἓξ καὶ μῆνας πέντε, καὶ τελευτήσας θάπτεται ἐν τῇ μονῇ τῶν Σικέλλων.

Ἐπὶ Λέοντος προεδόθη τὸ κάστρον ἡ λεγομένη Ὑψηλή, καὶ ἐκρατήθη ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμαλωτισθέντων πάντων τῶν ἐκεῖσε. γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας πλησίον τῶν Σοφιῶν, ἐμπρησθείσης καὶ τῆς ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ἣν αὐτὸς Λέων λαμπρῶς ἀνεκαίνισεν. ἀπέστειλεν δὲ D ὁ βασιλεὺς εἰς Εὐχάϊταν, καὶ ἤγαγεν Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τῇ πόλει. Ἀνδρέας δὲ ὁ δομέστικος καὶ Στέφανος ὁ μάγιστρος ὁ τῆς Καλομαρίας, οἱ πολλὰ λοιδορηθέντες

multa honoratum efferri iussit. pone sequebantur eius fratres, funusque ad sanctos apostolos prosecuti sunt, corpusque tumulo reposuerunt. imperator postmodum Andream domesticum scholarum, una cum Ioanne Agiopolita, viro litteris praestantissimo, qui etiam cursus publici logotheta extitit, mandavit, qui ambone ecclesiae conscenso, et causis in Photium patriarcham lectis, throno eum abdicare se coëgerunt, et in Armenianorum monasterium Bordi dictum detruserunt. promoverat autem imperator Stylianum Zautzam magistrum et cursus publici logothetam. fratrem etiam Stephanum in patriarchium induxit, qui imminentibus Christi natalitiis patriarcha consecratur a Theophane, primae post patriarcham sedis episcopo, et a reliquis praesulibus. vixitque in patriarchatu anno sex et menses quinque, et vita functus in Sicellorum monasterio sepelitur.

Leonis tempore castrum cognomento Excelsum proditum, et missis in captivitatem civium pluribus ab Agarenis occupatum est. contigit incendium ingens Sophias proxime, quo S. Thomae ecclesia, quam deinde Leo magnifice reparavit, consumpta est. misso vero ad Euchaita nuntio Theodorum Santabarenum in urbem vocavit imperator. Andreas autem domesticus et Stephanus magister Bonae Mariae filius, a Santabareno contumelias quondam passi, insidias deinde in

παρὰ Σανταβαρηνοῦ, ὑπέθηκαν τῷ βασιλεῖ συσκευὴν ποιησάμενοι ὡς ὅτι Φώτιος ὁ πατριάρχης καὶ Θεόδωρος ὁ Σανταβαρηνὸς βουλὴν εἶχον ποιῆσαι βασιλέα ἐκ τῶν ἰδίων Φωτίου τοῦ πατριάρχου. προσέταξεν δὲ ὁ βασιλεὺς ἀγαγεῖν Φώτιον τὸν πατριάρχην καὶ Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τοῖς παλατίοις τῶν Πηγῶν, καὶ ἰδίως αὐτὸν φρουρεῖσθαι διωρίσατο. ἀπεστάλησαν δὲ παρὰ τοῦ βασιλέως Στέφανος μάγιστρος καὶ Ἀνδρέας δομέστικος ὁ Κρατερὸς καὶ ὁ Γοῦβερ πατρίκιοι καὶ P. 476 Ἰωάννης ὁ Ἁγιοπολίτης ἐπὶ τὸ ἐξετάσαι τὰ κατ' αὐτόν. καὶ ἀγαγόντες τὸν πατριάρχην, καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ, καὶ αὐτοὶ καθεσθέντες, ἔφη πρὸς τὸν πατριάρχην Ἀνδρέας ὁ δομέστικος "γνωρίζεις, ὦ δέσποτα, τὸν ἀββᾶν Θεόδωρον;" ὁ δὲ "ἀββᾶν Θεόδωρον οὐ γνωρίζω." καὶ ὁ Ἀνδρέας "τὸν ἀββᾶν Θεόδωρον τὸν Σανταβαρηνὸν οὐ γνωρίζεις;" καὶ ὁ πατριάρχης "γινώσκω τὸν ἀββᾶν Θεόδωρον ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων." ἤγαγον δὲ καὶ τὸν Σανταβαρηνόν· καὶ λέγει πρὸς αὐτὸν Ἀνδρέας ὁ δομέστικος "ὁ βασιλεύς σοι δηλοῖ· ποῦ εἰσὶ τὰ χρήματα καὶ τὰ πράγματα τῆς ἐμῆς βασι- B λείας;" ὁ δὲ ἔφη "ποῦ δέδωκεν αὐτὰ ὁ βασιλεὺς ὁ κατὰ τὴν ἡμέραν, εἰσίν. νῦν δὲ ἐπεὶ κελεύει ἀναζητεῖν ταῦτα, ἐξουσίαν ἔχει ἀναλαβέσθαι αὐτά." καὶ ὁ Ἀνδρέας ἔφη πρὸς αὐτὸν "εἰπέ· τίνα ἐβούλου ποιῆσαι βασιλέα, ὑποθέμενος τῷ ἐμῷ πατρὶ διὰ συσκευῆς σου τυφλῶσαί με, πατριάρχου ἴδιον ἢ

9. αὐτῶν Comb.

eum machinati, suggesserunt imperatori Photium patriarcham et Theodorum Santabarenum ex Photii patriarchae consanguineis aliquem constituere imperatorem consiliatos. imperator Photium patriarcham et Theodorum Santabarenum ad Pegarum palatia deduci et utrumque seorsim custodiri iussit. Stephano autem magistro et Andreae Cratero domestico et Guberi patricio et Ioanni Agiopolitae ab imperatore mandatum ut eius causam diligenter inquirerent. adducto itaque patriarcha et cum honore in throno sedere iusso, ipsisque pariter sedentibus, Andreas domesticus patriarchae dixit "agnoscis, domine, abbatem Theodorum?" ad haec ille "abbatem Theodorum non novi." tum Andreas "abbatem Theodorum Santabarenum ignoras?" respondit patriarcha "abbatem Theodorum novi, Euchaitarum archiepiscopum." tunc Santabarenum in medium adduxerunt, et dicit ad eum Andreas domesticus "imperator tibi mandat: ubinam sunt pecuniae et imperii mei supellex?" dixit ille "ubi, qui hac die regnat imperator, ea deposuit. nunc vero cum isthaec inquiri iubet eadem recipere potestatem habet." tum ad illum Andreas "responde, quem meditabaris imperatorem constituere, quando fraudulenta molitione

σόν;" ὁ δὲ ἀποκριθεὶς εἶπεν "οὐ γινώσκω τὸ σύνολον περὶ τούτου." λέγει οὖν ὁ μάγιστρος Στέφανος "καὶ πῶς ἐμήνυσας τῷ βασιλεῖ ἐλέγξειν περὶ τούτου τὸν πατριάρχην;" ὁ δὲ Σανταβαρηνὸς παρευθὺ πεσὼν εἰς πόδας τοῦ πατριάρχου εἶπεν "ὁρκίζω σε κατὰ θεοῦ, δέσποτά μου, ἵνα πρῶτον ποιήσῃς τὴν ἐμὴν καθαίρεσιν· καὶ τότε γυμνὸν ὄντα με τῆς ἱερωσύνης 73 κολαζέτωσαν ὡς κακοῦργον· οὐ γὰρ τοιαῦτα ἐδήλωσα τῷ βασιλεῖ." ὁ δὲ πατριάρχης ἐνώπιον πάντων ἔφη "μὰ τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς, κῦρι Θεόδωρε· ἀρχιεπίσκοπος C εἶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι." θυμωθεὶς οὖν Ἀνδρέας ἐπὶ τούτοις ἔφη "οὐκ ἐμήνυσας, ἀββᾶ, τῷ βασιλεῖ δι' ἐμοῦ ὅτι ἵνα ἔλεγξω τὸν πατριάρχην ἐν τούτῳ;" ὁ δὲ ἀπηρνήσατο μηδὲν εἰδέναι. ὑποστραφέντες οὖν ἀνήγγειλαν τῷ βασιλεῖ τὰ λαληθέντα παρ' αὐτῶν. ὁ δὲ βασιλεὺς θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ ληφθείς, ὡς μὴ εὑρὼν αἰτίαν κατὰ τοῦ πατριάρχου, ἀποστείλας ἔτυψε τὸν Σανταβαρηνὸν σφοδρῶς, καὶ τοῦτον ἐξώρισεν ἐν Ἀθήναις, ὄπισθεν δὲ αὐτοῦ ἀποστείλας ἐτύφλωσεν αὐτὸν καὶ ἐξώρισεν εἰς ἀνατολήν. μετὰ πολλὰ δὲ ἔτη παρακληθεὶς ὁ βασιλεὺς τοῦτον εἰσήγαγεν ἐν τῇ πόλει, καὶ προσέταξεν αὐτὸν λαμβάνειν ἀννόνας D ἐκ τῆς νέας ἐκκλησίας. ἐτελεύτησεν δὲ αὐτὸς ὁ Σανταβαρηνὸς ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς τῆς αὐτοῦ μητρός.

Ἐπὶ τῆς βασιλείας οὖν Λέοντος Ἁγίων ὁ Λογγόβαρδος

suggessisti patri meo obcaecare me? ex patriarchae amicis aut ex tuis aliquem?" qui respondens ait "de hoc nihil penitus novi." dicit itaque magister Stephanus "quomodo significasti imperatori te de ea re patriarcham convicturum?" statim autem Santabarenus ad pedes patriarchae provolutus, "adiuro te per deum, domine mi, ut me ecclesiastica dignitate exauctores et deponas, atque ita me sacerdotio privatum velut maleficum illi me puniant. non haec ullo modo imperatori suggessi." patriarcha mox in omnium conspectu dixit "per salutem animae meae, domine Theodore archiepiscope, neque in prasenti saeculo neque in futuro." his exacerbatus Andreas dixit "non indicasti, abba, imperatori per me ut de his patriarcham accusarem?" ille se quicquam scire negavit. igitur reversi nuntiaverunt imperatori quae dicta erant. imperator ira et effreni furore percitus, ceu causa adversus patriarcham non inventa, Santabarenum copiosis verberibus tunsum Athenis exulare iussit. pone vero mittens oculis orbavit et in Asiam relegavit. post annos aliquot placatus imperator hominem reduxit in urbem, et ex nova ecclesia annonam percipere ordinavit. idem Santabarenus sub Constantino et Zoe eius matre defunctus est.

Ceterum Longobardiae dux Agyon, regis Franciae gener, rebel-

καὶ δούξ, γαμβρὸς δὲ γεγονὼς τοῦ ῥηγὸς Φραγγίας, ἀντῆρεν
τῷ βασιλεῖ, πᾶσαν τὴν χώραν πρὸς ἑαυτὸν δουλωσάμενος.
τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλεν τὸν Κωνσταντῖνον τὸν τῆς
τραπέζης σὺν πᾶσι τοῖς θέμασι τῆς δύσεως πρὸς τὸ καταπο-
λεμῆσαι τὸν Ἀγίωνα. καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ
μετὰ Κωνσταντίνου καὶ κατεσφάγησαν, μόλις αὐτοῦ διασω-
θέντος. γέγονε δὲ ἔκλειψις ἡλιακή, ὥστε νύκτα γενέσθαι ὥρας
ἓξ καὶ τοὺς ἀστέρας φαίνεσθαι. ἀλλὰ καὶ βρονταὶ καὶ συν-
P. 477 οχὴ ἀνέμων καὶ ἀστραπαὶ γεγόνασιν, ὥστε καῆναι ἐν τοῖς
ἀναβαθμοῖς τοῦ φόρου ἀνθρώπους ἑπτά. καὶ ἐπολιορκήθη
ὑπὸ τῶν Ἀγαρηνῶν ἡ Σάμος τὸ κάστρον, αἰχμαλωτισθέντος
καὶ τοῦ στρατηγοῦ τοῦ Πασπαλᾶ. προεχειρίσατο δὲ Λέων
74 A ὁ βασιλεὺς Ζαούτζαν βασιλεοπάτορα, συμφιλιωθεὶς ἤδη Ζωῇ
75 τῇ αὐτοῦ θυγατρί, φαρμάκῳ τινὶ τελευτήσαντος τοῦ ἀνδρὸς
αὐτῆς Θεοδώρου τοῦ Γουζουνιάτου. Στεφάνου δὲ πατριάρ-
χου τῶν τῇδε μεταστάντος χειροτονεῖται ἀντ' αὐτοῦ Ἀντώ-
νιος ὁ λεγόμενος Καυλέας.

Ἦλθε δὲ ἀγγελία παρὰ τοῦ στρατηγοῦ Μακεδονίας ὡς
B ὁ ἄρχων Βουλγαρίας Συμεὼν βούλεται ἐκστρατεῦσαι κατὰ
Ῥωμανίας. ἡ δὲ αἰτία δι' ἣν ὠργίζετο Συμεὼν ἦν αὕτη.
Ζαούτζας ὁ βασιλεοπάτωρ εἶχεν εὐνοῦχον δοῦλον ὀνόματι
Μουσικόν. οὗτος ἐφιλιώθη Σταυρακίῳ καὶ Κοσμᾷ, Ἑλλαδι-
κοῖς φιλοχρύσοις καὶ πραγματεῖς, οἵτινες πρὸς αἰσχροκέρδειαν

lione in imperatorem motá regionem omnem suo subiecit imperio. eo cognito imperator Constantinum, mensae suae praefectum, una cum Occidentalibus cunctis legionibus ad debellandum Agyonem misit; et initio congressu victi sunt qui cum Constantino erant, ipsoque vix superstite ceteri perierunt. facta est autem solaris eclipsis, ita ut horas sex profunda nox et astra apparerent, sed et tonitrua ventorumque impetus et fulgura facta sunt tam horrida, ut in fori gradibus septem homines igne consumpti sint. Sami quoque castrum ab Agarenis obsessum : duce autem exercitus Paspala facto captivo, Leo Zautzam imperatoris patrem creavit, secreto amoris philtro in Zoes eius filiae consuetudinem abductus, post Theodori Guzuniatae viri eius mortem. Stephano autem patriarcha morte sublato, in eius locum Antonius cognomento Cauleas ordinatur.

A duce vero Macedoniae venit nuntius Simeonem Bulgariae principem adversus Romaniam profectionem meditari. causa vero quae Simeonem movit, haec erat. Zautzas imperatoris pater servum habuit eunuchum nomine Musicum. hic Stauracio et Cosmae, praedivitibus mercatoribus Graecis, amicitia iunctus est; qui quidem turpi lucro

ἀφορῶντες μεσιτείᾳ καὶ δυνάμει τοῦ Μουσικοῦ διέστησαν τὴν ἐν τῇ πόλει πραγματείαν τῶν Βουλγάρων ἐν Θεσσαλονίκῃ, κακῶς τοὺς Βουλγάρους διοικοῦντες ἐν τῷ κουμερκεύειν. 76 οἱ δὲ Βούλγαροι τῷ Συμεὼν ταῦτα ἀνήγγειλαν· ὁ δὲ δῆλα πεποίηκεν τῷ βασιλεῖ Λέοντι. ὁ δὲ βασιλεὺς ὑπὸ τοῦ βασιλεοπάτορος κωλυόμενος, προσπαθοῦντος Μουσικῷ, πάντα ὡς λῆρον ἤκουσεν. μανεὶς οὖν ὁ Βούλγαρος ἐκστρατεύει κατὰ C τῶν Ῥωμαίων. καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς ἀποστέλλει τὸν Κρινίτην στρατηλάτην κατὰ τῶν Βουλγάρων μετὰ ὅπλων καὶ ἀρχόντων πολλῶν τῆς πόλεως. καὶ συμβολῆς γενομένης ἐν Ῥωμανίᾳ τρέπονται οἱ Ῥωμαῖοι σφαγέντος τοῦ Κρινίτου καὶ τοῦ Ἀρμήνη τοῦ Κορτίκη καὶ τῶν λοιπῶν πάντων. ἐκ δὲ τῶν Χαζάρων οἳ ἦσαν εἰς τὴν ἑταιρίαν Λέοντος, κρατηθέντες καὶ τὰς ῥῖνας αὐτῶν κοπέντες εἰς αἰσχύνην Ῥωμαίων ἐν τῇ πόλει παρὰ Συμεὼν ἀπεστάλησαν· οὓς ἰδὼν ὁ βασιλεὺς καὶ θυμωθεὶς ἀπέστειλεν Νικητᾶν τὸν λεγόμενον Σκληρὸν μετὰ δρομώνων ἐν τῷ ποταμῷ τοῦ Δανουβίου δοῦναι δῶρα τοῖς Τούρκοις καὶ πρὸς πόλεμον κινῆσαι μετὰ Συμεών. ὁ D δὲ ἀπελθὼν καὶ συντυχὼν καὶ ταῖς κεφαλαῖς Ἀρπάδῃ καὶ Κουσάνῃ, καὶ συνθεμένων πολεμῆσαι, ὁμήρους λαβὼν ἦλθε πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς πάλιν διὰ τῆς θαλάσσης ἀπέστειλεν Εὐστάθιον πατρίκιον καὶ δρουγγάριον τῶν πλοΐμων, Νικηφόρον δὲ πατρίκιον τὸν Φωκᾶν καὶ δομέστικον

intenti auctoritate Musici, quod erat in urbe Bulgarorum commercium, Thessalonicam transtulerunt, et vectigalibus impositis pessime Bulgaros exercuerunt. his Simeoni a Bulgaris significatis, eadem haec Simeon Leoni imperatori fecit manifesta. imperator a patre imperatorio Musico nimis affecto praepeditus, cuncta nihilo magis aestimavit. furens igitur Bulgarus adversus Romanos exercitum instruit. quibus auditis mittit imperator Crinitem, militiae magistrum, cum armis et multis urbis proceribus adversus Bulgaros; initoque certamine per Romaniam vertuntur in fugam Romani, ipso Crinite et Cortice Armenio ceterisque omnibus occisis. ex Chazaris qui auxiliares Leoni advenerant, comprehensi naribusque praecisi in contemptum Romanorum ad urbem a Simeone remissi sunt: quos imperator conspicatus et accensus ira, Nicetam cognomento Sclerum ad Danubii fluminis ripas cum celocibus misit, munera Turcis oblaturum et ad arma contra Simeonem excitaturum. profectus ille et collocutus cum Arpade et Cusane Turcorum ducibus, foedere inito, acceptis obsidibus ad imperatorem rediit. ille rursum Eustathium patricium et classis drungarium mari, terra vero Nicephorum patricium et Phocam et legionum dome-

μετὰ τῶν θεμάτων ἀπέστειλεν διὰ γῆς, καὶ ἦλθεν μέχρι Βουλγαρίας. ὁ δὲ βασιλεὺς τὴν εἰρήνην ἀσπαζόμενος μετὰ τοῦτο ἀπέστειλε καὶ Κωνσταντινάκην κοιαίστωρα πρὸς Συμεῶνα τὰ περὶ εἰρήνης συμβουλεύοντα. Συμεὼν δὲ τὴν κατ' αὐτοῦ κίνησιν διά τε γῆς καὶ θαλάσσης ἰδὼν ἐν φρουρᾷ κατακλείει τὸν κοιαίστωρα ὡς ἐπὶ δόλῳ ἐλθόντα. περάσαντες δὲ οἱ Τοῦρκοι τοῦ Συμεὼν ἐπὶ τὸ στράτευμα Φωκᾶ ἀσχολουμένου,
P. 478 ᾐχμαλώτευσαν πᾶσαν τὴν Βουλγαρίαν. ταῦτα μαθὼν Συμεὼν κινεῖται κατὰ τῶν Τούρκων. οἱ δὲ ἀντιπεράσαντες συμβάλλουσι πόλεμον κατὰ Βουλγάρων, καὶ τρέπεται Συμεών, μόλις διασωθεὶς ἐν τῇ Δίστρᾳ. οἱ δὲ Τοῦρκοι ᾐτήσαντο βασιλέα ἀποστεῖλαι καὶ ἀγοράσαι τὴν αἰχμαλωσίαν τῶν Βουλγάρων· ὃ δὴ καὶ πεποίηκεν ὁ βασιλεύς, τοὺς πολίτας ἀποστείλας τοῦ ἀγοράσαι αὐτούς. ὁ δὲ Συμεὼν δι' Εὐσταθίου δρουγγαρίου ἐδεήθη τὰ περὶ τῆς εἰρήνης, πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεὺς καὶ ἀπέστειλεν τὸν Λέοντα τὸν Χοιρόσφακτον πρὸς τὸ γενέσθαι εἰρήνην. ἐδέξατο Νικηφόρος ὑποστρέψαι μετὰ τοῦ λαοῦ, καὶ ὁ δρουγγάριος Εὐστάθιος ὁμοίως. Λέοντα δὲ οὐδὲ λόγου
B ἠξίωσεν Συμεών, ἀλλ' ἠσφαλίσατο ἐν εἱρκτῇ. ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων, ἐκείνων ὀχύρωμα βοηθείας μὴ ἐχόντων παρὰ Ῥωμαίων ἀλλ' ἀπρονοήτων ἐαθέντων, πάντας κατέσφαξεν, αὐξήσας τὴν μεγαλοψυχίαν αὐτοῦ. καὶ ὑποστρέψας εὗρεν Λέοντα ἐν τῇ Μουλδάγρᾳ, καὶ εἶπεν πρὸς αὐτὸν

sticum delegat, qui Bulgariam usque penetraverunt. pacis postmodum cupidus imperator Constantinacem quaestorem de pace cum Simeone consulturum misit. Simeon arma bellumque terra et mari in se mota conspiciens, quaestorem quasi dolose agentem sub custodia inclusit. Simeone vero Phocae copiis occupato, Turci traiecto Danubio totam Bulgariam captivam fecere. his auditis Simeon movet adversus Turcos. illi in contrariam ripam transeuntes cum Bulgaris certamen ineunt, ipseque Simeon in fugam vertitur, vix Distrae receptus incolumis. Turci autem petierunt ab imperatore ut captivos Bulgaros emeret; quod et fecit, missis ex urbe civibus qui pretium rependerent. Simeon Eustathii drungarii ope de pace sermonem proposuit, cui se facilem praebuit imperator; eidemque componendae Leonem Choerosphactum destinavit. Nicephorus cum exercitu redire iussus est, et Eustathius drungarius pariter. Leonem vero neque ad colloquium admittere dignatus est Simeon: imo sub custodia tenuit. expeditione deinde adversus Turcos parata, illisque a Romanis auxilium et praesidium non habentibus, imo belli apparatu et armorum provisione destitutis, cunctos inflatis animis iugulavit Simeon. et reversus, cum Leonem in Muldagra reperisset, dixit ad eum "nusquam

„οὐ ποιῶ εἰρήνην, ἐὰν μὴ πᾶσαν τὴν αἰχμαλωσίαν λάβω." διωρίσατο οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι, καὶ ἦλθεν μετὰ Λέοντος Θεόδωρος Βούλγαρος οἰκεῖος τοῦ Συμεών, καὶ παρέλαβεν αὐτούς. Νικηφόρου δὲ τοῦ Φωκᾶ τελευτήσαντος ἀφορμὰς ἐζήτει Συμεὼν τοῦ εἰρήνην διαλῦσαι· ἐπιζητῶν C γὰρ καὶ ἄλλους αἰχμαλώτους ἔρχεται κατὰ Ῥωμαίων. Λέων δὲ ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν προβάλλεται Λέοντα τὸν Καταχαλών, ἐν τῇ Ῥάβδῳ τὴν οἴκησιν ἔχοντα, καὶ μετ' αὐτοῦ ἀποστέλλει Θεοδόσιον πατρίκιον καὶ πρωτοβεστιάριον. καὶ περῶσιν ὅλα τὰ θέματα καὶ τὰ τάγματα. καὶ γενομένης συμβολῆς μετὰ Συμεὼν εἰς τὸ Βουλγαρόφυγον ἐγένετο τροπὴ δημοσία, καὶ πάντες ἀπώλοντο, καὶ ὁ πρωτοβεστιάριος Θεοδόσιος, δι' ὃν ὁ βασιλεὺς οὐ μετρίως ἠνιάθη.

Ἐπὶ τούτου ἔσφαξαν καὶ ἐν Χερσῶνι οἱ τοῦ κάστρου τὸν στρατηγὸν αὐτῶν Συμεῶνα τὸν υἱὸν Ἰωνᾶ. παρελήφθη καὶ τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν.

Ὁ δὲ πρόκενσον ἐποίησεν εἰς τὰ Δαμιανοῦ, συνόντος καὶ D Ζαούτζα τοῦ παραδυναστεύοντος καὶ τῆς θυγατρὸς αὐτοῦ Ζωῆς ἅμα τῷ βασιλεῖ. Θεοφανὼ δὲ ἡ γαμετὴ αὐτοῦ οὐ παρῆν ἐκεῖσε, ἀλλ' ἐν Βλαχέρναις ἐν τῇ ἁγίᾳ σορῷ προσεκαρτέρει εὐχομένη. δόξαντος οὖν τοῦ βασιλέως μεῖναι ἐκεῖσε συμβούλιον ποιήσαντες οἱ τοῦ Ζαούτζα συγγενεῖς, ὅ τε υἱὸς αὐ-

pacem componam, nisi captivos omnes recepero." imperator restituere proposuit; venitque cum Leone Theodorus Bulgarus, Simeonis domesticus, qui eos recepit. exinde Nicephoro Phoca morte sublato, Simeon abrumpendae pacis quaerebat occasiones, et aliis captivis expetitis adversus Romanos movit. Leo vero imperator Leonem Catacalum, ad Rabdum aedes suas habentem, scholarum domesticum creat, et una cum eo Theodosium patricium et protovestiarium mittit, qui simul cuncti omnes legiones et copias iubent traiicere; pugnaque cum Simeone ad Bulgarophygum inita, fuga omnium facta est horrenda, omnesque deleti sunt; inter quos patricius Theodosius, cuius causa non modice doluit imperator.

Eius tempore castri Chersonis incolae ducem proprium Simeonem Ionae filium interemerunt: castrum etiam Corum in Cappadocia ab Agarenis captum est.

Porro celebrem processum ad Damiani aedes habuit imperator, Zautza comitante et supremam post eum potestatem exercente, et Zoe pariter eius filia solemnitatis socia. Theophano vero eius legitima coniux non aderat, sed in Blachernis ad sanctum sepulcrum assiduis orationibus vocabat. imperatore igitur moram ibi agere meditato, consilium iniere Zautzae consanguinei et filius eius Tzantzes,

ματι. ἐθάρρησε δὲ τῷ Σαμωνᾷ ὅτι τῆς θείας ἡμῶν Ζωῆς τελευτησάσης ὁ βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα, καὶ ἡμᾶς πάντας θέλει ἀφανίσαι. ἀλλὰ δός μοι λόγον, καὶ ἵνα P. 480 σοι θαρρήσω πάντα τὰ βουλευόμενα. καὶ δόντος αὐτοῦ λόγον τῷ Βασιλείῳ, ἐθάρρησεν αὐτῷ πάντα. ὁ δὲ Σαμωνᾶς εἰσελθὼν εἰς τὸν βασιλέα εἶπεν αὐτῷ ὅτι δέσποτά μου, θέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ εἰ μὲν εἴπω, ἀποθνήσκω, εἰ δὲ μὴ εἴπω, ἀποθνήσκεις σύ. καὶ διεξεῖπεν πρὸς τὸν βασιλέα πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληθεῖσιν παρ' αὐτοῦ, καὶ εἰρηκότος "μή τίς σοι ὑπέβαλεν ταῦτα εἰπεῖν μοι, καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας;" ὁ δὲ εἶπεν "ἀπόστειλον πιστούς, οὓς κελεύεις, ἐν τῷ κελλίῳ, δέσποτά μου, καὶ ἵνα εἰσὶν ἐγκεκρυμμένοι, καὶ εἴ τι ἂν ἀκούσωσι παρὰ τοῦ Βασιλείου καὶ παρ' ἐμοῦ, γράφωσι B ταῦτα." παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον πρωτοβεστιάριον ἅμα Καλοκύρῳ κοιτωνίτῃ· καὶ εἰσελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθεὶς καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς καὶ τοὺς συμβουλευομένους. ἀριστώντων δὲ αὐτῶν κατελθόντες Χριστοφόρος καὶ Καλοκῦρις ἀνέγνωσαν πάντα τῷ βασιλεῖ. καὶ παρευθὺ μὲν προσκαλεσάμενος Βασίλειον δέδωκεν μιλιαρίσια χιλιάδας εἴκοσι ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας ζωῆς ὁρισθέντα,

23. κδ' Anonymus

nae vero mentem confidenter exposuit. "defuncta nunc Zoe, matertera nostra, uxorem aliam imperator sibi copulaturus est nosque omnes deleturus. sed pollicere secretum, ut quae modo deliberantur fidenter aperiam." eo Basilio secreti fidem promittente animatus ille mentem exposuit. Samonas ad imperatorem ingressus dixit ei "cuperem, domine mi, aliquid secreto enuntiare, quod si edixero, mors me certa manet, si tacuero, tibi moriendum." confestimque Basilii coniurationem omnem enarravit. imperatori autem narratis fidem haud adhibenti, imo dicenti "num quis ea mihi edicere suggessit, et mercedis spe hoc fecisti?" dixit ille "mitte, domine, quos placuerit tibi fideles in cubiculum, ut occultati, quod a Basilio et a me perceperint, cuncta describant." confestim imperator Christophorum protovestiarium cum Calocyro cubiculario misit; et ingressi in eius delituerunt cubiculo. Basilius itaque iam inescatus, accepta iuramenti fide a Samona ad eius oratorium, consilium ei suum et consilii participes aperuit. illis prandentibus Christophorus et Calocyres digressi cuncta imperatori perlegerunt; et confestim Basilio ad se advocato miliarisiorum milia viginti, eleemosynarum nomine in materterae

καὶ ἀπέστειλεν ἐν Μακεδονίᾳ· καὶ τὸν μὲν Βασίλειον οὕτω
τῆς πόλεως ἐξήγαγεν, τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτοῦ βουλῆς
μετεσχηκότας, Πάρδον μὲν δρουγγάριον τῆς βίγλας ἀποστέλ-
λει πρὸς τὸν Στυπιώτην, δῆθεν ἀγαγεῖν αὐτόν, προμηνυθέν- C
τος ἐκείνου διὰ βασιλικοῦ πιττακίου αὐτὸν δεσμῆσαι. προ-
φασισάμενος δὲ ὁ βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν
ἅγιον Λάζαρον εἰς τὸ καταβάσιον τοῦ τζυκανιστηρίου ἔστη- 79
σεν Ἰωάννην Γαριδᾶν μετὰ τῶν λοιπῶν τῆς ἑταιρίας ἐν τῷ
κουβουκλείῳ· καὶ ἐν τῷ κατέρχεσθαι τὸν βασιλέα κρατή- 80
σαντα μετὰ Ἰωάννου Νικόλαον ἑταιριάρχην ἐξήγαγεν τῆς πό-
λεως. ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον καὶ ἀνακρίνας
καὶ τύψας, καὶ τὰς τρίχας αὐτοῦ κατακαύσας, καὶ ἐν τῇ μέ-
σῃ θριαμβεύσας, ἐξώρισεν ἐν Ἀθήναις, καὶ κακῶς ἐκεῖσε τε-
τελεύτηκεν. ὡσαύτως Νικόλαον ἑταιριάρχην καὶ Στυλιανὸν
καὶ Ἰωάννην καὶ τὴν συγγένειαν πᾶσαν Ζαούτζα, τοὺς μὲν D
ἀπέκειρεν τοὺς δὲ ἐξώρισεν, δημεύσας τὰς οὐσίας αὐτῶν.
πάντας δὲ μαγίστρους καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ
βασιλεὺς ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σα-
μωνᾶ. οἱ δὲ τοῦτον ὑπερεπήνεσαν ὡς τῆς ζωῆς τοῦ βασιλέως
προνοούμενον, καὶ εἰρήκασιν ἄξιον εἶναι τιμῆς μεγίστης. ὁ
δὲ παρευθὺ τοῦτον πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκεν.

Ἐτελεύτησεν δὲ Στέφανος ὁ πατριάρχης καὶ ἀντ' αὐτοῦ
ἐχειροτονήθη Νικόλαος ὁ πατριάρχης, μυστικὸς ὢν τοῦ βα- 81

Zoes animae levamen, velut legata tradidit, et in Macedoniam dimisit. et Basilium quidem hoc pacto urbe detrusit: reliquos vero coniurationis consortes, Pardum quidem excubiarum drungarium ad Stipiotem quasi eum ad se vocaturum amandavit: is tamen ut eum vinculis coerceret per imperatorias litteras prius monitus fuerat. simulans etiam imperator foras proficisci et ad S. Lazarum coenaturum, ad equilis descensum Ioannem Garidam cum reliquis confoederatis detinuit in cubiculo; cumque imperator Ioannem detinens descenderet, Nicolaum hetaeriarcham urbe eduxit. Basilium porro e Macedonia revocatum et de crimine inquisitum verberibus subiecit, et crinibus eius succensis per mediam urbem traductum Athenas relegavit exulem, ubi misere periit. Nicolaum pariter hetaeriarcham et Stylianum et Ioannem et Zautzae genus omne hos quidem detondit, alios publicatis eorum facultatibus in exilium expulit. magistris vero cunctisque in dignitate positis ab imperatore advocatis, quae a Samona significata fuerant, cuncta perelecta sunt. illi virum velut imperatoris vitae providentem maximisque honoribus dignum pronuntiarunt: quare protospatharii dignitate confestim honoratur.

Mortuus est autem Stephanus patriarcha, et in eius locum Nico-

σιλέως. παρελήφθη δὲ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέ-
ματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ. Λέων δὲ
P. 481 ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς τῆς ἀπὸ τοῦ Ζαούτ-
ζῃ, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητώρια μὴ
οὔσης Αὐγούστης. ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέ-
ματος Ὀψικίου ὡραιοτάτην πάνυ, ὀνόματι Εὐδοκίαν, στέψας
καὶ ἀναγορεύσας καὶ γήμας αὐτήν· ἐξ ἧς παιδοποιήσας ἄρ-
ρενα παῖδα, ἐφ' ᾧ τετελεύτηκεν καὶ αὐτὴ καὶ τὸ γεννηθέν.

Ἐξωνήσατο δὲ ὁ βασιλεὺς οἰκήματα πλησίον τῶν ἁγίων
ἀποστόλων, καὶ ἔκτισεν ἐκκλησίαν περικαλλῆ ἐπ' ὀνόματι τῆς
προτέρας αὐτοῦ γυναικὸς τῆς ἁγίας Θεοφανοῦς. ὡσαύτως
ἔκτισεν εἰς τοὺς λεγομένους τόπους τὸν ἅγιον Λάζαρον, κα-
B τασκευάσας μονὴν ἀνδρείαν εὐνούχων, ἔνθα καὶ τοῦ ἁγίου
82 Λαζάρου σῶμα καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀνακομίσας
ἀπέθετο, ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας. ἀσχο-
λουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλη-
σιῶν παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιν ὑπὸ τῶν Ἄφρων,
τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου δρουγγαρίου τῶν
πλωΐμων, καὶ Καραμάλου ἐκεῖσε ὄντος καὶ Μιχαὴλ τοῦ Χα-
ράκτου, γενομένης πολλῆς σφαγῆς τῶν Ῥωμαίων. ἀνελθόν-
των δὲ αὐτῶν ἐν τῇ πόλει παρά τε τοῦ βασιλέως καὶ τοῦ
πατριάρχου, ἐλεγχθέντων παρὰ Μιχαὴλ τοῦ Χαράκτου ὡς
C προδοτῶν, κατεκρίθησαν θανάτῳ· παρακληθέντος δὲ τοῦ βα-

laus imperatoris mysticus provectus. Demetrias autem oppidum ad Graeciae thema spectans a Damiano Agareno captum est. imperator Leo Annam Zoes, quae Zautzae fuit, filiam imperii corona redimivit, quod deficiente Augusta instituta ex more convivia celebrare non posset. imperator idem ducta e themate Opsicii venustissima puella nomine Eudocia, Augustam coronavit et imperatricem uxoremque renuntiavit: ex ea puero masculo suscepto mater, et qui genitus fuit puer, pariter obierunt.

Emit autem imperator sanctorum apostolorum templo vicinas aedes, in quibus prioris suae coniugis S. Theophanus sumptuosam ecclesiam construxit. ad Topos pariter S. Lazaro dicatam aedificavit, et virile eunuchorum monasterium esse disposuit; ad quod S. Lazari et Mariae Magdalenae translatum corpus deposuit, eiusdem ecclesiae celebrata dedicatione. classe vero in ecclesiarum huiusmodi aedificiis occupata, Tauromenium Siciliae civitas ab Afris capta est, socordia, verius dicam proditione, Eustathii classis drungarii et Caramali, nec non Michaelis Characti ibidem repertorum, quamplurimis Romanorum ea in clade caesis. reversi in urbem ab imperatore et patriarcha, postquam a Michaele Characto proditionis con-

σιλέως παρὰ Νικολάου τοῦ πατριάρχου τὸν θάνατον συνε-
χωρήθησαν, τυφθέντες δὲ μόνον καὶ δημευθέντες καὶ απο-
καρέντες μοναχοί, ὁ μὲν Καράμαλος εἰς τὰ Πικριδίου, ὁ δὲ
Εὐστάθιος εἰς τὴν μονὴν τῶν Στουδίου. παρελήφθη δὲ καὶ
ἡ Λῆμνος ἡ νῆσος ὑπὸ τῶν Ἀγαρηνῶν αἰχμαλωσίαν πολλὴν
πεποιηκότων.

Ἐν τῇ προελεύσει δὲ τῆς μεσοπεντηκοστῆς τοῦ βασιλέως 83
Λέοντος ἀπελθόντος εἰς τὸν ἅγιον Μώκιον καὶ εἰσοδεύοντος,
ὅτε ἦλθεν πλησίον τῆς σολέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος
δέδωκεν αὐτὸν κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ πα-
χείας. καὶ εἰ μὴ ἡ φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμ-
ποδισθεῖσα διεχαυνώθη, παρευθὺ ἂν τοῦτον ἀπήλλαξεν. τοῦ D
δὲ αἵματος σφοδρῶς καταρρέοντος ἐκ τῆς τοῦ βασιλέως κε-
φαλῆς, ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων γέγονεν καὶ πολ-
λοὶ ἐν ταύτῃ ἀπώλοντο. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος
προεφασίσατο νοσηλεύεσθαι, καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς
ἐκ τούτου ὕποπτον αὐτὸν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸν
κατασκευάσαι. οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ' ἦν ἀπελ-
θὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ. κρατηθέντος δὲ τοῦ δόν-
τος τὸν βασιλέα, καὶ ἐξετασθέντος, καὶ πολλὰς βασάνους καὶ
τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα κα-
θωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας καὶ πόδας ἐκάη ἐν
τῇ τοῦ ἱππικοῦ σφενδόνῃ· καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη P. 482

victi erant, morte condemnati sunt: patriarcha vero Nicolao apud imperatorem interpellante mors condonata, verberibusque solummodo subiecti, bonis eorum publicatis, inter monachos detrusi sunt, Caramalus in Picridii, Eustathius autem in Studii monasteria. Lemnus etiam insula ab Agarenis, pluribus ex ea captivis asportatis, occupata est.

Pentecostes vero magnae solemnibus imperatore Leone ad S. Mocium, aula comitante, progresso, et ad altare ingressum celebrante, iamque soleae proximo, egressus quidam ex ambone fustem robustum et pinguem in eius caput impegit, ac nisi fustis impetus obvio multifido candelabro retardatus et impeditus fuisset, eum statim de medio tulisset. sanguine autem ex imperatoris capite largiter fluente, tumultus et procerum fuga exorta est, plurimique in ea perierunt. Alexander autem eius frater ingressum celebraturus non advenit, morbum praetexens; ex quo insidiarum huiusmodi auctorem eum extitisse suspicio nata est. Samonas pariter aberat: imo Zoem in palatium conducturus discesserat. apprehensus igitur qui percusserat imperatorem, et examinatus, poenas plurimas et tormenta in dies ali-

*προέλευσις. μετὰ δέ τινα καιρὸν ἀνῆλθεν Μάρκος ὁ φιλο-
σοφώτατος, οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας ὤν, ὃς ἦν ἀναπλη-
ρώσας τοῦ μεγάλου σαββάτου τετραῴδιον τοῦ κυρίου Κοσμᾶ·
καὶ ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώμενος ἐξελιπάρει τὸν*
84 *βασιλέα μὴ ἐκκοπῆναι τὴν ἑορτήν. τοῦ δὲ βασιλέως ἀπαναι-
νομένου ἔφη ὁ Μάρκος ὅτι "προγεγραμμένον ἦν παρὰ τοῦ
προφήτου Δαβὶδ τοῦ παθεῖν σε τοῦτο, ὦ δέσποτα. προεφή-
τευσεν εἰπὼν ὅσα ἐπονηρεύθη ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ*
B *ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς· καὶ δεῖ
σε ἀπὸ τοῦ νῦν, ὦ δέσποτα, κρατῆσαι τὴν βασιλείαν ἔτη δέ-
κα." ὃ δὴ καὶ γέγονεν· τῇ γὰρ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἔλα-
βεν, ἐν ταύτῃ τελευτᾷ.*
Ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἐν τῷ παλα-
85 *τίῳ μετὰ τοῦ βασιλέως ἄστεπτος. τοῦ δὲ βασιλέως πρόκεν-
σον ποιησαμένου εἰς τὸ ἐμπόριον τῶν Βοτίου πρὸς τὸ ἐγκαι-
νίσαι τὴν μονὴν Χριστοφόρου πρωτοβεστιαρίου αὐτοῦ ἦλθεν
ἀγγελία ὡς ὅτι ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ
ἀνέρχονται κατὰ Κωνσταντινούπολιν. ἀποστέλλει οὖν ὁ βα-*
C *σιλεὺς Εὐστάθιον δρουγγάριον τῶν πλοΐμων μετὰ παντὸς
τοῦ στόλου καὶ τῶν στρατηγῶν κατὰ τοῦ Τριπολίτου· οἳ μὴ
δυνηθέντες ἀντιπαρατάξασθαι ἀπεστράφησαν κενῶς. ἦλθεν*

15. *Βουτίου* Anonymus, *Βοαιτίου* Cedrenus

quot prolata sustinuit; et ut nullum coniurationis participem confessus est, manibus et pedibus demum praecisis, ad circi metam combustus est. et ex tunc processus istiusmodi abrogata est solemnitas. aliquo deinde tempore interiecto Marcus, eiusdem ecclesiae sapientissimus oeconomus, qui magni sabbathi tetraodium hymnum a domino Cosma inceptum perfecit, mensae cum imperatore accumbens, ne solemnitatem imminueret rogabat. imperatore renuente ait Marcus "a propheta Davide hoc te, domine, passurum praedictum erat: praenuntiavit etenim *quanta malignatus est inimicus in sancto tuo*, et *gloriati sunt qui oderunt te in medio solemnitatis*. ex hoc vero temporis momento annos adhuc decem te, domine, imperium tenere necesse est." quod ita contigit: eo namque die quo plagam accepit, eodem pariter obiit.

Zoe vero, quarta imperatoris coniux, in palatio nondum imperii corona redimita degebat. imperatore ad Botii portum, ut monasterii a Christophoro protovestiario constructi dedicationem celebraret, solemnem processum et comitatum ducente, Agarenorum classem una cum Tripolita adversus Cpolim accedere nuntius significavit: quare classis drungarium Eustathium cum navalibus copiis ducibusque imperator amandat, qui cum vires adversas opponere non valuissent, infecta re domum redierunt. praecesserat ipse Eustathius redux, et

δὲ ἔμπροσθεν αὐτῶν, καὶ εἰσῆλθεν μέχρι Παραίου. τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν μεγάλῃ ἀθυμίᾳ γέγονεν, καὶ ἀποστέλλει Ἱμέριον πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ Τριπολίτου, μὴ τολμώντων μηδ' ὅλως πλησιάσαι τῷ στόλῳ τῶν Ἀγαρηνῶν. τοῖς δὲ τοῦ θεοῦ κρίμασιν ἀπεστράφη ὁ αὐτὸς Λέων Τριπολίτης, καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ, καὶ ταύτην ἐπολιόρκησεν καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτοῦ Λέοντι τῷ Χατζιλικίῳ, καὶ ποιήσας πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. D Ῥοδοφύλις δέ τις κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ διὰ χρείαν τινά, ἔχων μεθ' ἑαυτοῦ χρυσίου λίτρας ἑκατόν. νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι καὶ ἀνακτήσασθαι ἑαυτόν, καὶ ἐκρατήθη παρὰ Λέοντος. διερχόμενος Συμεὼν πρωτασηκρῆτις, ὁ μετὰ ταῦτα γεγονὼς πατρίκιος καὶ πρωτασηκρῆτις, ἀνελάβετο τό τε χρυσίον καὶ τὰ δῶρα, ἅπερ εἴασεν Ῥοδοφύλης ἐν τῇ ὁδῷ καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησεν. τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι μαθὼν Συμεὼν δηλοῖ αὐτὸν λαβεῖν χρυσίον καὶ ταύτην ἐᾶσαι. ὃν καὶ πείσας, καὶ λαβὼν λόγον συνεφώνησεν δοῦναι χρυσίον τῷ Τριπολίτῃ τοῦ τὴν πόλιν ἐᾶσαι· ὃ δὴ καὶ γέγονεν.

Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐτοῦ τὰ P. 483

1. ὄπισθεν Anonymus cum Cedreno 13. post Λέοντος Combefisius illa pouit quae paulo infra sequuntur, καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησεν

ad Paraeum iam penetraverat. quo cognito imperator magno maerore affectus Himerium a secretis praecipuum classis ducem adversus Tripolitam delegat: sed neque ipse ad Agarenorum classem accedere ausus est. secreto vero dei iudicio Leo Tripolita faciem vertit, et Thessalonicam versus abiit, obsessamque una cum civitatis duce Leone Chatzilicio, plurima strage edita captivisque abductis, in potestatem accepit. Rodophyles autem quidam cubicularius ob necessitatem quampiam delatis secum auri libris centum in Siciliam missus fuerat: per viam vero fortuita aegritudine correptus balnearum commoditate usurus et vires recepturus Thessalonicam diverterat; qui etiam a Leone captus est. porro Simeon secretariorum princeps, qui deinde patricius et una a secretis primus extitit, iter agens praedictum aurum et munera per viam a Rodophyle relicta penes se receperat: hic postmodum multis tormentis examinatus vitam finivit. Tripolitae vero Thessalonicensem urbem evertere cogitanti significat Simeon ut aurum accipiat et urbem liberet. eo persuaso, et fide data, de auro Tripolitae dando deque urbe servanda convenit; quod ita praestitum est.

Samonas autem monasterii, cui nomen Spira, ad Damatrym ex-

Σπεῖρα ἐξελθεῖν τὴν ἐν τῷ Δαματρῷ οὖσαν, φυγῇ ἐχρήσατο
ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους
ἀγκυλοκοπῶν. τοῦτο μαθὼν ὁ βασιλεὺς ἀποστέλλει ὄπισθεν
αὐτοῦ Βασίλειον ἑταιριάρχην τὸν Καματερὸν καὶ Γεώργιον
τὸν Κρινίτην, τοῦ καταλαβεῖν αὐτόν. τοῦ δὲ Σαμωνᾶ τὸν
Ἅλυν βουλομένου διαπεράσαι κατέλαβεν αὐτὸν· Νικηφόρος
δρουγγάριος ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπερᾶ-
σαι. ἐπεὶ δὲ ὁ Σαμωνᾶς πολλὰ ὑπισχνεῖτο καὶ οὐκ ἔπειθεν,
προσέφυγεν εἰς τὸ Σιριχὰ εἰς τὸν τίμιον σταυρόν, προφασι-
B σάμενος ὡς διὰ πίστιν τοῦ σταυροῦ ἐληλύθει. καταλαβὼν
οὖν Κωνσταντῖνος ὁ τοῦ Δουκός, καὶ τοῦτον ἀναλαβόμενος,
ὑπέστρεψεν ἐν τῇ πόλει. προσέταξεν δὲ ὁ βασιλεὺς αὐτὸν
μὲν φυλάττεσθαι ἐν τῇ οἰκίᾳ Βάρδα τοῦ Καίσαρος, ἠρώτη-
σεν δὲ Κωνσταντῖνον τοῦ Δουκὸς περὶ αὐτοῦ. καὶ μαθὼν
πῶς ἀληθῶς ἐν Συρίᾳ ἔφευγεν, παρηγγύησεν τῷ Δουκὶ μὴ
εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ' αὐτοῦ ἐρωτη-
θῇ, ἀλλ' ὅτι δι' εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιρίχῳ· ἤθελεν γὰρ
ὁ βασιλεὺς ἀποσυνοψισθῆναι αὐτῷ. προσκαλεσάμενος οὖν
Κωνσταντῖνον τοῦ Δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει ἔφη "οὕ-
C τως ἔχεις θεὸν καὶ τὴν κεφαλήν μου. ἔφευγεν ὁ Σαμωνᾶς, ἢ
οὐχί;" ὁ δὲ ὡς εἶπεν πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι καὶ
τὸ κελευόμενον εἰπεῖν, ἀκούσας τοὺς ὅρκους ἐξεῖπεν ἐνώπιον
πάντων ὅτι εἰς Συρίαν ἔφευγεν. μετ' ὀργῆς δὲ τοῦ βασιλέως

structi visitandi praetextu, divitiis et equis propriis secum abductis, fuga usus est, et equis publicis omnibus poplitum nervos succidit. eo cognito imperator Basilium Camaterum hetaeriarchem et Georgium Crinitem fugientem insecuturos et apprehensuros misit. Samonam vero Alym fluvium traiicere paratum Nicephorus drungarius nomine Caminas deprehendit nec transmeare permisit. Samonas multa licet pollicitus, cum virum movere non posset, ad pretiosam Sirichorum crucem confugit, fidei, quam ad ipsam habebat, gratia se venisse simulans. his ita gestis Constantinus Ducis filius advenit, et eum secum in urbem reduxit; quem imperator in Bardae Caesaris aede custodiri iussit. porro Constantinum Ducis filium de eo interrogavit; agnitoque eius vero in Syriam recessu, ne hoc coram senatu enuntiaret, si quandoque interrogaretur, commendavit; ac tantum orationis ergo ad Siricha faciendae discessisse affirmaret. cupiebat enim imperator hominem sibi reconciliare. Constantinum itaque coram proceribus advocans ait "ita deum capitisque mei salutem diligas: fugit Samonas an non?" ille vero, ut prius, imperatorem, ne adiuraretur, rogaverat et quae iubebatur promiserat exequi, iuramenti vi compulsus coram omnibus enuntiavit "in Syriam vere fugiebat."

τοῦτον. ἀποπεμψαμένου ἐποίησε Σαμωνᾶς μῆνας τέσσαρας ἐν
τῷ οἴκῳ τοῦ Βάρδα, ἀπεσυνόψισεν δὲ ἐν τῇ αὐτοκρατορίᾳ 86
τοῦ βασιλέως. ἐφάνη δὲ τότε καὶ ὁ κομήτης ἀστὴρ τὰς
ἀκτῖνας ἐπὶ ἀνατολὴν πέμπων καὶ φαινόμενος ἐν ἡμέραις καὶ
νυξὶ τεσσαράκοντα.

Ἐγέννησεν Λέων υἱὸν Κωνσταντῖνον ἀπὸ Ζωῆς τῆς τε-
τάρτης αὐτοῦ γαμετῆς. ἐβαπτίσθη δὲ τὰ ἅγια φῶτα ὑπὸ
Νικολάου πατριάρχου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ δεξαμένων αὐ- D
τὸν Ἀλεξάνδρου βασιλέως καὶ Σαμωνᾶς πατρίκιος καὶ τῶν ἐν
τέλει πάντων. γέγονε δὲ τὸν βασιλέα εὐλογηθῆναι μετὰ Ζωῆς
μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρου, ὃς καθῃρέθη.
ἀνηγόρευσε δὲ τὴν αὐτὴν Ζωὴν εἰς Αὐγοῦσταν. καὶ διὰ
τοῦτο τὸν βασιλέα ὁ πατριάρχης εἰς τὴν ἐκκλησίαν ἐκώλυσεν
εἰσέρχεσθαι· ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι
τοῦ μιτατορικίου, μηδ' ὅλως εἰς τὰ κατὰ συνήθειαν διερχόμε-
νος. προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ εἶναι
τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν, καὶ
κατὰ τῆς ἐκκλησίας ἤρξατο μελετᾶν. προσκαλεσάμενοι γὰρ
Νικόλαον πατριάρχην Φεβρουαρίου πρώτῃ, καὶ πολλὰ λιπα- P.484
ρήσαντες δεχθῆναι, ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ τοῦ
κλητορίου διὰ τοῦ Βουκολέοντος ἐν πλοίῳ μικρῷ ἐμβιβάσαν-
τες διεπέρασαν ἐν τῇ Ἱερείᾳ, ἀφ' ἧς πεζῇ μέχρι Γαλακρήνων

eoque tunc cum furore ab imperatore retro amandato, Samonas in Bardae domo menses quattuor peregit, et annuo die quo imperator potestatem accepit redeunte reconciliatus est. tunc apparuit cometes radios versus Orientem eiaculans, et dies noctesque quadraginta conspicuus permansit.

E Zoe vero quarta coniuge Constantinum filium Leo suscepit, qui luminum festo a Nicolao patriarcha in magna ecclesia, suscipientibus puerum e fonte Alexandro imperatore, Samona patricio et proceribus cunctis baptizatus est. contigit autem imperatorem cum Zoe, festo istiusmodi celebrato, benedictionem nuptialem a Thoma presbytero suscipere, qui eam ob rem officio depositus est. eandem vero Zoem Augustam declaravit imperator, quem eapropter ecclesiae liminibus patriarcha prohibuit, ut exinde pariter dextera ecclesiae parte, via consueta penitus relicta, ad Mitatoricium usque pertransiret. Samonas deinde accubitor provectus est, quod ad omne facinus et pravitatem imperatori manum praeberet auxiliarem; et adversus ecclesiam coeperunt meditari. vocatum quippe ad se Nicolaum patriarcham Februarii die primo precibus instabant ut in ecclesiam reciperentur: ut vero flectere non potuerunt, a convivio publico, ad quod vocatus fuerat, eiectum et per Bucoleontem ductum lintrique imposi-

87 μόλις ἀπῄει, χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ Εὐθύμιος σύγκελλος, ἀνὴρ ἱεροπρεπής, ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ· ὃν φασι καταδέξασθαι τοῦτο ἀποκαλύψεως θείας, ὡς τοῦ βασιλέως βουλευομένου αἵρεσιν καὶ
88 νόμον ἐκθεῖναι τοῦ ἔχειν ἄνδρα τρεῖς γυναῖκας ἢ τέσσαρας, πολλῶν εἰς τοῦτο λογιωτάτων ἀνδρῶν συνεργούντων αὐτόν.

B Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ ἐν τῷ Μερδοσαγάρῃ τοῦ τε ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι. καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος Λίψ, ἕως τρίτου σφοδρῶς φυσήσας, συσσείσας τε καὶ δονήσας οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις, λέγοντας συντέλειαν κοσμικὴν εἶναι, εἰ μὴ ἡ τοῦ θεοῦ φιλανθρωπία δι' ὄμβρων ἔπαυσεν τὴν τοιαύτην θραῦσιν.

Προεβάλετο δὲ ὁ βασιλεὺς Ἱμέριον λογοθέτην τοῦ δρόμου κεφαλὴν πάντων τῶν πλωΐμων, ἐξελθόντος τοῦ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων. ἐδέξατο δὲ καὶ Ἀνδρόνικος ὁ
C δοὺξ διὰ κελεύσεως συνελθεῖν Ἱμερίῳ λογοθέτῃ ἐν τοῖς πλοίοις καὶ καταπολεμῆσαι τοὺς Ἀγαρηνούς. ὁ δὲ Σαμωνᾶς ἦν ἀδιάλλακτος ἐχθρὸς τοῦ Ἀνδρονίκου, καὶ πολλὰ κατ' αὐτοῦ διηνεκῶς συνεσκεύαζεν, καὶ ἐμηχανᾶτο κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς. ὑπέβαλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρύφα

tum in Hieriam traiecerunt, e qua pedes ad Galacrenos usque nive multa delibutus pervenit. in eius locum Euthymius syncellus, vir gravis et temperatissimus, suffectus est; quem dicunt divina revelatione id muneris suscepisse. volebat enim imperator haeresim et legem ponere, qua virum tres quattuorve uxores ducere liceret, pluribus doctissimis viris ad id opem conferentibus.

Iunio autem mense imperator Leo a Constantino Libe in monasterium ad Merdosagarem positum, ut eius dedicationem celebraret et adesset convivio, vocatus est. posthaec ventus nomine Africus per dies tres invaluit vehementissime spirans, concutiens et evertens domos, adeo ut omnes ad loca subdivalia fugerent et mundi finem adventasse cogitarent, nisi deus sua in homines benignitate concussionem huiusmodi placandam iussisset.

Imperator autem Himerium, cursus publici logothetam, classis totius caput instituit. Agarenorum vero navali exercitu adversus Romanos moto, Andronicus dux ut se in navibus Himerio logothetae adiungeret et Agarenos oppugnaret iussus est. quo tempore Samonas in Andronicum implacatus perseverabat, multaque adversus eum comminiscebatur, et omnibus modis omnique studio Andronico mole-

"μὴ εἰσέλθῃς εἰς τὰ καράβια, καὶ κρατηθῇς παρὰ Ἱμερίου.
ὁ γὰρ Σαμωνᾶς ὑπέθηκε τῷ βασιλεῖ τοῦ κρατηθῆναί σε καὶ
τυφλωθῆναι παρ' αὐτοῦ." πολλὰ δὲ προτρεπομένου Ἱμερίου
Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς πλοίοις μετὰ τῶν Ἀγαρηνῶν 89
ἐπικειμένων. Ἱμέριος δὲ μόνος ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ
συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰρ-
γάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος ἀπογνοὺς ἅμα συγγενέσιν D
αὐτοῦ ἀπελθὼν ἐκράτησεν κάστρον τὴν Κάββαλαν, εἰς τελείαν
ἀποστασίαν ἐλθών, ὥς εἰπεῖν καὶ Σαμωνᾶν πρὸς τὸν βασιλέα
"οὐκ ἔλεγον, ὦ δέσποτα, ἀντάρτην εἶναί σου τὸν Δοῦκα;"
παρευθὺ ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν δομέστικον τῶν
σχολῶν, τὸν λεγόμενον Ἰβηρίτζην, συμπενθερὸν ὄντα Ἀνδρο-
νίκου, καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος,
καὶ ὡς ὁ πατριάρχης Νικόλαος τῆς ἐκκλησίας ἐξεώσθη, προσ- P. 485
έφυγεν τοῖς Ἀγαρηνοῖς ἅμα τοῖς συγγενέσι καὶ τέκνοις καὶ
τοῖς φίλοις, ἐξεληλυθόσι τότε κατὰ Ῥωμαίων. καὶ ὑπεδέχθη
παρὰ τῷ ἀμερουμνῇ μεγαλοπρεπῶς. ἐλυπεῖτο δὲ Λέων ὁ
βασιλεὺς διὰ τὸν Ἀνδρόνικον, καὶ πολλάκις ἐβουλεύετο ἀπο-
στεῖλαι αὐτὸν λόγον ἐνυπόγραφον, ὃ καὶ Θεόφιλος διὰ τὸν
Μανουὴλ ἐποίησεν. συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ
φιλοφρονηθῆναί τινα τῶν τοῦ πραιτωρίου Σαρακηνῶν καὶ
ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. τοῦτο δὴ

B σφαγιασθείς, ὃς καὶ ἐξήγαγεν αἱμάτων ὀχετοὺς διά τε τοῦ στόματος καὶ τῶν ῥινῶν καὶ τῶν ὤτων αὐτοῦ. καὶ οὕτως ἀνέρρηξεν τὴν ψυχὴν αὐτοῦ ἐν κακοῖς. ἐπαρθεὶς τοίνυν τῶν φρονημάτων ὁ Λέων, ὡς ὅτι αὐτὸς κατέβαλεν τὸν πόλεμον καὶ οὐχ ὁ θεός, ἔπεμψεν εἰς πάσας τὰς πόλεις καὶ χώρας σάκρας, ἀναγγέλλων ὅτι εὗρον τοὺς Βουλγάρους ἐγγὺς ὄντας τῆς πόλεως, καὶ διὰ τῆς φρονήσεως καὶ ἀνδρείας καὶ διαταγῆς μου τοξεύσας τὸν πρῶτον αὐτῶν πάντας ἀπήλασα, ὅς τις καὶ διὰ τὴν πρόφασιν ταύτην ἀποθνήσκει, ἔφη, ὁ ἐχθρὸς ἡμῶν.

12. πρῶτος Βουλγαρίας? 20. διαταγωγῆς P

Instrumentis hisce praefatis deportandis et curribus vehendis boum milia plurima in stabulis iam disposuit, currus autem ferro vinctos ad quinque milia fieri iussit." Leo his auditis, et missis exploratoribus veritateque comperta, populi multitudinem immensam et artifices congregavit, murumque alium praeter eum qui ad Blachernas coepit exstruere, profundamque et amplam fossam excisam opponere. vix operi manu admota, hoc est opere adhuc infecto, ut deus, qui consilia gentium dissipat et populorum mentem reprobat, irritat quoque consilia principum, qui non in machinis vel robore homines quid aggredi posse commonstrat, ut haec, inquam, iterum patefaceret deus, nondum imminente vere, ut rettulerunt quidam captivitate Bulgarica liberati, circa feriam magnam quintam, Bulgariae princeps Crumus ille celebris, qui urbem occupare destinabat, vitae finem persensit, invisibili virtute iugulatus, qua sanguinum rivos ore naribus et auribus emisit; atque ita in malis animam deposuit. his elatus Leo, quasi ipse, non deus compescuisset bellum, in urbes omnes regionesque missis sacris nuntiavit "Bulgaros urbi vicinos comperi; solertiaque robore ductuque meo principem eorum cum telo confodissem, cunctos fugavi. vulneris istius causa moritur" inquit "hostis noster."

Καὶ λοιπὸν μετὰ τοῦτο λαβὼν εὐκαιρίαν ἤρξατο πορθεῖν C τὴν ἐκκλησίαν, δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ, περιεργαζόμενος κατὰ τῶν θεοῦ κριμάτων, καὶ λέγων πρός τινας ὁμόφρονας αὐτοῦ ὅτι τίνος ἕνεκεν, φησί, ταῦτα πάσχουσιν οἱ Χριστιανοὶ κατακυριευόμενοι ὑπὸ τῶν ἐθνῶν; ἐμοὶ δοκεῖ διὰ τὸ προσκυνεῖσθαι τὰς εἰκόνας, καὶ ἄλλο οὐδέν· καὶ βούλομαι αὐτὰς καταστρέψαι. βλέπετε γάρ, φησίν, ὅσοι βασιλεῖς ἐδέξαντο καὶ προσεκύνησαν αὐτάς, ἀπέθανον οἱ μὲν ἐκδιωχθέντες οἱ δὲ ἐν πολέμῳ πεσόντες. μόνοι δὲ οἱ μὴ προσκυνήσαντες αὐτὰς ἰδίῳ θανάτῳ ἕκαστος εἰς τὴν βασιλείαν αὐτοῦ ἐτελεύτησεν, καὶ μετὰ δόξης προκομισθεὶς εἰς τὰ τῶν βασιλέων D κοιμητήρια ἐτάφη ἐν τοῖς ἀποστόλοις. λοιπὸν ἐκείνους κἀγὼ βούλομαι μιμήσασθαι καὶ καταστρέψαι τὰς εἰκόνας, ἵνα πολὺν ζήσας χρόνον κἀγὼ καὶ ὁ υἱός μου, καὶ κρατήσει ἡ βασιλεία ἡμῶν ἕως τετάρτης καὶ πέμπτης γενεᾶς. ὅπερ διεψεύσθη δείλαιος, ἀνομήσας διακενῆς, καὶ ἐπιλαθόμενος τὸ ἰδιόχειρον ὃ ἐποίησεν, καὶ τὸν σταυρὸν ὃν ἔπηξεν μετὰ τῶν σὺν αὐτῷ. καὶ ἤρξατο μετὰ ταῦτα ζητεῖν εἴ τινα εὕροι συναγωνιζόμενον τῷ σκοπῷ αὐτοῦ. καὶ δὴ εὗρεν ὅμοιον τῆς αὐτοῦ φρονήσεως ἤτοι ἀφροσύνης ἀναγνώστην τινὰ Ἰωάννην λεγόμενον, υἱὸν Παγκρατίου τινὸς σκιαστοῦ, ὅστις ἐκ παιδόθεν δαίμονα εἶχεν ἀτάκτως φερόμενος, διάγων ἐν ἀσυνεσίᾳ,

4. πάσχουσιν Compefis: libri πως ἔχουσιν 14. ζήσω Comb 17. ὃ] καὶ P

Postmodum occasione capta ecclesiam depopulari coepit. anno imperii secundo, dei iudicia curiose perscrutatus Leo sensus eiusdem consortibus quibusdam dicit "cuius causa gentilibus inferiores evadunt Christiani? quod adorentur imagines, nec alterius ergo, ut mihi quidem videtur; quare illas deturbare est animus. videte quippe" aiebat "quotquot imperatores susceperunt et adoraverunt illas, perierunt, hi quidem solio deiecti, alii bello profligati: qui non adoraverunt, soli morte suavi, retento imperio, vita functi sunt, et cum honore in imperatorum sepulcris ad apostolos elati. eam ob rem imitator eorum imagines tollam, ut ego et filius meus in multos annos vivamus, et nostrum stet imperium ad quartam et quintam generationem." in quo equidem misellus mentitus est, hoc scelere frustra admisso, ut syngraphen propriam, cui crucem cum comitibus affixit, despiceret et proculcaret. exinde si quem votis conspirantem reperiret, coepit exquirere. et repperit sane sensus, imo insipientiae eiusdem participem lectorem quendam, Ioannem dictum, Pancratii Sciastae filium, qui a puero daemonem inhabitantem habuerat, incompositis motibus agitatus mentisque consortio privatus, quem Hylilam dicebant, quique, ut alii ferunt, Hebraice redditur

ὅν τινα Ὑλιλᾶν ἐπωνόμαζον, ὥς τινές φασιν, ἑρμηνευόμενον
P. 436 Ἑβραϊστὶ λέγεται πρόδρομος καὶ συνεργὸς τοῦ διαβόλου. τοῦτον ἐπιλαβόμενος Λέων, καὶ ἀνακοινωσάμενος αὐτὸς τὴν ἑαυτοῦ βουλήν, προσελάβετο αὐτὸν συνεργὸν αὐτοῦ, λέγων ὅτι ἐὰν συνδράμῃς μοι καθελεῖν τὰς εἰκόνας, πατριάρχην σε ποιῶ. καὶ αἰτήσας παρ' αὐτοῦ ἐξουσίαν τοῦ ψηλαφῆσαι τὰ ἁπανταχοῦ παλαιὰ βιβλία, ἅπερ ἀπόκεινται εἰς τὰ μοναστήρια καὶ εἰς τὰς ἐκκλησίας, ἐπετράπη μετὰ καὶ ἄλλων τινῶν ἀτάκτων καὶ ἀπαιδεύτων. καὶ δὴ συναγαγόντες πλήθη πολλὰ βιβλίων ἐποιοῦντο ἐν αὐτοῖς τὴν ἔρευναν, πλὴν οὐδὲν εὕρισκον οἱ ἄφρονες ὧνπερ αὐτοὶ κακούργως ἐπεζήτουν, ἕως οὗ
B μετὰ χεῖρας ἔλαβον τῷ συνοδικῷ Κωνσταντίνου τοῦ Ἰσαύρου
11 τοῦ καὶ Καβαλλίνου, καὶ ἐκ τούτου τὰς ἀρχὰς λαβόντες ἤρξαντο καὶ ἐν τοῖς βιβλίοις εὑρίσκειν τὰς χρήσεις, ἅσπερ αὐτοὶ ἀφρόνως καὶ ἀνοήτως προέφερον, σημάδια βάλλοντες εἰς τοὺς τόπους ἔνθα ηὕρισκον, βουλόμενοι πεῖσαι τὸν ἄφρονα λαὸν ὅτι ἐν παλαιοῖς βιβλίοις εὕρομεν τοῦ μὴ προσκυνεῖσθαι τὰς εἰκόνας. καὶ λοιπὸν ζητούντων καὶ ἑτερὸν ἔχοντα χειροτονίαν ἐπίσκοπον, εὗρον Κωνσταντῖνον, υἱὸν πρεσβυτέρου τι-
12 νὸς τζαγγαρίου, καὶ Κασυματᾶ μαθόντα τὴν γραμματικήν, καὶ γέροντα νομικὸν εἰς τὰ Σφορακίου καὶ διδάξαντα παιδία,
C καὶ δι' ἐγκλήματά τινα φυγόντα ἐν μοναστηρίῳ καὶ ἀποκει-

1. ὥς] τοῦτο δέ, ὥς? 4. αὐτῷ Comb

praecursor et diaboli adiutor. huic sibi assumpto, et consiliorum suorum participi facto et cooperatori instituto, dicit Leo "si delendis imaginibus auxiliarem manum praebueris, patriarcham te renuntiabo." ille visendorum undequaque veterum librorum per monasteria et ecclesias repositorum facultate petita, cum aliis quibusdam mentis incompositae et illiteratis comitibus, quod petierat, impetravit. collecta itaque librorum immensa multitudine examen de illis habuerunt: verum eorum quae nequiter exquisierant nihil penitus imprudentes repererunt, donec in manus venit synodus sub Constantino Isauro et Caballino habita, ex qua occasione accepta coeperunt in libris auctoritates invenire, quas synodi auctores imprudenter et insipienter depromebant. deinde signis ad loca reperta appositis simplicem turbam seducere moliti sunt, dicentes "ex veteribus libris non adorandas imagines reperimus." examine postmodum habito, si quem ordinibus insignitum penes se nanciscerentur, episcopum repererunt quendam Constantinum, presbyteri sutoris filium, et Cazimatam grammaticae professorem, et legisperitum quendam ad Phoracii aedes diversantem ludimagistrum, qui criminum sibi obiectorum poenam fugiens in monasterium diverterat, et detonsus nomen assumpserat Antonii,

ραμενον καὶ ἐπονομασθέντα Ἀντώνιον, γενόμενόν τε αὖθις ἡγούμενον εἰς τὸ μοναστήριον τὸ λεγόμενον τὰ Μητροπολίτων. μυθολόγος τις γέλοια ἀγαπῶν καὶ παιγνίδια, καὶ τοὺς ὑπ' αὐτοῦ μοναχοὺς νέους ὄντας ταῦτα ποιεῖν ὑποτιθέμενος, καὶ ἁπλῶς εἰπεῖν αἰσχρῶς καὶ ἀσέμνως βιοτεύσας, οὐκ οἶδ' ὅπως ὕστερον ἐκ παραχωρήσεως θεοῦ ἐγένετο καὶ ἐπίσκοπος εἰς τὸ Συλαῖον. τὸ μὲν πρῶτον ἐκ παιδόθεν ὀρθόδοξος ὤν, ὕστερον δὲ διὰ τὴν δόξαν τὴν πρόσκαιρον καὶ τὸ ἔχειν παρρησίαν εἰσέρχεσθαι εἰς τὰ βασίλεια καὶ παρρησιάζεσθαι μετὰ τῶν κρατούντων, ἐπελάβετο τὴν αἵρεσιν. τοῦτον καταμηνύσαντες D πρὸς Λέοντα τὸν βασιλέα ὅ τε Ἰωάννης ὁ ἐπίκλην Ὑλιλᾶς, ὃν ἐκάλουν γραμματικόν, καὶ οἱ σὺν αὐτῷ, ὄντα τῷ τηνικαῦτα ἐν τῷ Συλαίῳ, πέμψας ἤγαγεν αὐτόν· καὶ εἰπὼν αὐτῷ τὸν σκοπὸν αὐτοῦ, μὴ ἔχων καρπὸν πνευματικὸν ἐν ἑαυτῷ καὶ ἀγαπῶν τὴν πρόσκαιρον δόξαν, καταπατήσας τὴν ἑαυτοῦ συνείδησιν καὶ ἀθετήσας τὸν σταυρὸν καὶ τὴν ἐπιγραφὴν ἣν ἐποίησεν, ἐστράφη εἰς τὸ ἐναντίον μέρος. ἐρωτηθεὶς γὰρ ὑπὸ τοῦ Λέοντος εἰ γέγραπται προσκυνεῖσθαι τὰς εἰκόνας, οὐκ ἀπεκρίθη αὐτῷ τὰ δέοντα ῥήματα τῆς ἀληθείας, ἀλλ' εἶπεν P. 437 "οὐκ ἔστι γεγραμμένον πώποτε, ἀλλὰ λέγουσιν ὅτι ἀρχαία παράδοσίς ἐστι." καὶ εἶπεν ὁ Λέων ὅτι ἐὰν οὐ γέγραπται εἰς τὸ εὐαγγέλιον καὶ εἰς τὸν ἀπόστολον ῥητῶς ὅτι προσκυ-

et deinceps in monasterium metropolitanum nomine praepositus fuerat institutus, homo equidem fabulis addictus, risus et ludorum sectator, qui monachis suis subditis et iuvenili aetate adhuc detentis haec eadem sectari suggerebat, verbo dicam, turpem et inhonestam vitam ducens: qua ratione postmodum dei permissu factus fuerit episcopus Sylaei, penitus ignoro. rectam certe fidem a puero edoctus erat, deinceps autem ex vanae gloriae libidine, et libertatis in regium ingrediendi captandae causa, et ut aulicorum consortii particeps fieret, haeresim amplexus est. hunc cum Leoni imperatori notum fecissent et Sylaei habitare renuntiassent, Ioannes cognomento Hylilas, quem grammaticum dicebant, et sententiae eiusdum comites, Leo misso nuntio vocavit hominem; et exinde mentis sententiam ei aperuit. cum nullum fructum spiritualem in se ipso haberet, sed vanam tantum sectaretur gloriam, conculcata proiectaque conscientia sua, contemptaque cruce, quam in subscriptionem exaravit, in partem declinavit contrariam. interrogatus enim a Leone num adorandas imagines scriptum legerit, nihil quod ad veritatem spectaret respondit, sed dixit "nullibi hoc scriptum est: verum antiquam esse traditionem asserunt." subinfert Leo "nisi in evangeliis aut apud apostolum clare et ad verbum scribatur, Veneremini imaginem meam, nusquam ipsam

νήσατε τὴν εἰκόναμου, οὐ καταδέχομαι προσκυνεῖσθαι αὐτήν. καὶ τοῦτο ἀκούσας συνῆλθεν αὐτῷ καὶ τοῖς προειρημένοις ἀτάκτοις καὶ ἀπαιδεύτοις, καὶ ἄγεται ἀρχηγὸς καὶ πρῶτος αὐτῶν. καὶ λοιπὸν ἠγωνίζοντο κατὰ τῆς ἀληθείας, ἀρξάμενοι ἀπὸ τῇ πεντηκοστῇ οἱ περὶ τὸν Ἰωάννην τὸν καὶ Ὑλιλᾶν σωρεύειν τὰ βιβλία· τὸν δὲ Ἀντώνιον προσελάβοντο ἀπὸ Ἰουλίου μηνός.
B καὶ λοιπὸν ἕως τὸν Δεκέμβριον μῆνα κρυπτὸν τὸν δόλον εἶχον· ἐρωτώμενοι δὲ ἔλεγον ψευδόμενοι ὅτι ὁ βασιλεὺς ἐπέτρεψεν ἡμᾶς ψηλαφῆσαι τὰ βιβλία, ὅτι λέγουσιν αὐτῷ τινὲς ὅτι ὀλίγον χρόνον ἔχεις βασιλεῦσαι, καὶ ἕνεκεν τούτου ποιούμεθα τὴν ζήτησιν. καὶ περὶ τὸν Δεκέμβριον μῆνα δηλοῖ τὸν πατριάρχην ὁ Λέων ὅτι ὁ λαὸς σκανδαλίζεται διὰ τὰς εἰκόνας, λέγοντες ὅτι κακῶς αὐτὰς προσκυνοῦμεν καὶ ὅτι διὰ τοῦτο τὰ ἔθνη κυριεύουσιν ἡμῶν· καὶ συγκατάβα, φησί, τὶ μικρόν, καὶ ποίησον οἰκονομίαν εἰς τὸν λαόν, καὶ τὰ χαμηλὰ περιέλωμεν. εἰ δὲ μὴ βούλει, πεῖσον ἡμᾶς δι' οὗ ἕνεκεν προσκυνεῖτε,
C τῆς γραφῆς μὴ ἐχούσης ῥητῶς πώποτε. καὶ δηλοῖ αὐτῷ ὁ πατριάρχης ὅτι ἡμεῖς τὰ καλῶς ἐξ ἀρχῆς καὶ ἄνωθεν ὁρισθέντα ὑπό τε τῶν ἀποστόλων καὶ τῶν πατέρων οὔτε παρασαλεύομεν οὔτε περισσότερόν τι ἐν αὐτοῖς οἰκονομοῦμεν, τοῦ ἀποστόλου λέγοντος ὅτι καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐαγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

21. ἐὰν add Comb 22. παρὰ P: corr Comb

adorare consentiam." his auditis, cum eo et praefatis incompositae mentis et illiteratis hominibus convenit, et princeps caputque eorum instituitur. contendebant igitur in veritatem a pentecoste, qui Ioannem et Hylilam sequebantur, coacervare libros: Iulio vero mense socium adiunxerunt Antonium, et deinceps ad Decembrem occultum gerebant dolum. interrogati vero falso respondebant "libros perscrutari iniunxit imperator, quod quidam annuntiaverint, brevissimo tempore imperabis. huius causa examen instituimus." circa Decembrem vero mensem Leo patriarchae significat "imaginum causa populus offenditur, dicentes: perverse adoramus illas, et propterea gentiles nobis dominantur. condescende" inquid "modicum, et moderamen ad popolum habe, et quae sunt abiecta rescindamus. si non assentiaris, exhibe et persuade cuius gratia, scriptura haec diserte nullibi asserente, adoretis imagines." respondet patriarcha "haec quae a principio et superioribus temporibus ab apostolis et patribus definita sunt, nulla ratione innovamus, nec amplius quid moderandum censemus ab apostolo dicente: si vel angelus de caelo annuntiaverit praeter id quod vobis denuntiavimus, anathema sit. qua vero de causa adoramus crucem et evangelium, eadem imagines veneramur, quando-

περὶ δὲ τοῦ προσκυνεῖσθαι, ὡς προσκυνοῦμεν τὸν σταυρὸν καὶ τὸ εὐαγγέλιον, προσκυνοῦμεν καὶ τὰς εἰκόνας, ἐπεὶ οὐδὲ ταῦτα γέγραπται προσκυνεῖσθαι· ἀλλ' ἐπειδὴ παρὰ τῶν ἀποστόλων ἡ ἐκκλησία ταῦτα παρείληφεν, οὐ δεῖ ζητεῖν D εἰ γέγραπται ἢ οὐ γέγραπται· πολλὰ γὰρ ἀγράφως ἡ ἐκκλησία παρέλαβεν, ἅπερ λέγονται δόγματα, δι' ἐμπνεύσεως τοῦ ἁγίου πνεύματος καθ' ἑκάστην γενεὰν ὑπὸ τῶν ἁγίων αὐτοῦ δούλων καὶ θεραπόντων διατυπωθέντα. ἐπεὶ δὲ ταῦτα ἤκουσεν, ἀντεδήλωσεν. "ἐλθὲ" φησὶ "καὶ διαλέχθητι πρὸς τοὺς κατ' ἐμέ," τοὺς περὶ Ἀντώνιον καὶ Ἰωάννην λέγων, "οἵτινες ἀσφαλῶς εὗρον ἐν παλαιοῖς βιβλίοις χρήσεις ἀποτρεπούσας προσκυνεῖσθαι τὰς εἰκόνας." καὶ λοιπὸν ὁ πατριάρχης ἀπέστειλεν ἐπισκόπους καὶ ἡγουμένους ἐλλογίμους πρὸς αὐτὸν πρὸς 13 τὸ ἀπολογήσασθαι πρὸς τὰς πεύσεις αὐτοῦ. διαλεχθέντων δὲ καὶ τὴν ἀλήθειαν ἀποδειξάντων, ἐπέμενεν ἀναγκάζων αὐτοὺς διαλεχθῆναι πρὸς τοὺς τῆς ἐναντίας μοίρας. οἱ δὲ εἶπον ὅτι ὅρος ἐστὶ τῆς ἁγίας συνόδου τὰ ὀρθῶς δογματισθέντα καὶ P. 438 διατυπωθέντα μὴ δεῖν πάλιν κακούργως ἀναζητεῖν ἢ περιεργάζεσθαι, μηδὲ τοὺς ἄφρονας θέλοντας φιλονικεῖν ποιεῖσθαι ἀπολογίας, μάλιστα δὲ καὶ μὴ πειθομένους. καί φησιν "ὁ Ἄρειος μονώτατος λαλήσας ἐποίησεν σύνοδον συγκροτηθῆναι δι' αὐτόν· καὶ πάντων σκανδαλιζομένων περὶ τῆς πίστεως, τίνος ἕνεκεν ὑμεῖς οὐ βούλεσθε διαλεχθῆναι καὶ πληροφορη-

20. φασιν P 22. αὐτῶν P: corr Comb

quidem neque illa adoranda scriptum est. verum quoniam ab apostolis haec excepit ecclesia, utrum scriptum vel non scriptum sit, non decet inquirere: plura namque scripto non tradita, quae dicuntur dogmata, per sancti spiritus inspirationem successivis temporibus a sanctis eius famulis ac servis ordinata ecclesia excepit. his auditis contra infit. "accede" inquit "et cum eis qui mecum una sentiunt dissere" (Antonium Ioannemque insinuabat), "qui certas et ineluctabiles in veteribus libris repererunt auctoritates ab imaginibus colendis nos deterrentes." post haec episcopos et selectos monasteriorum praepositos interrogatis eius responsuros ad eum patriarcha misit. ipsis disserentibus et veritatem demonstrantibus, instabat Leo, et ut cum adversa parte dissererent instabat vehementius. responderunt illi "sanctae synodi decretum est recte declarata probeque sancita non oportere denuo examinare aut curiosius indagare; neque contentionum auctoribus et iurgia requirentibus, si obstinati perseverant, respondendum." dicunt illi "Arius cum unus et solus locutus esset, synodum tamen colligi coëgit: nunc vero cum omnium animi circa fidem offendantur, cuius causa vos dissertationem habendam de-

σαι πάντας ὅτι καλῶς προσκυνοῦνται αἱ εἰκόνες;" καὶ ἐξουδενώσας καὶ ἐπαπειλησάμενος αὐτοὺς ἀπέλυσεν, μείνας B κατασυρίζων τῆς ὀρθῆς πίστεως, ποιῆσαι βουλόμενος ὅπερ ἤθελεν. οἱ δὲ ἀπολυθέντες συνείχοντο λύπῃ καὶ ἀθυμίᾳ, ἀπαγγείλαντες τῷ πατριάρχῃ πᾶσαν τὴν βουλὴν αὐτοῦ τὴν πονηράν. καὶ λοιπὸν συναχθέντες πάντες οἱ ὀρθόδοξοι κληρικοί τε καὶ μοναχοὶ καὶ λαϊκοὶ ἐποίησαν παννυχίδα ὁλονυκτί, παρακαλοῦντες τὸν θεὸν ἵνα διασκεδάσῃ τὴν βουλὴν αὐτοῦ. τοῦ δὲ πατριάρχου τοῦτο πράξαντος, ὅπερ μαθὼν ὁ ἀλιτήριος δηλοῖ τὸν ἀρχιερέα "τί τοῦτο ἐποίησας;" ὁ δὲ εἶπεν "οὐδὲν κακὸν ἐποιήσαμεν· τὸν θεὸν ἱκετεύσαμεν ἵνα τὴν ἐκκλησίαν ἀσάλευτον φυλάξῃ, εἰ εὐάρεστον αὐτῷ ἐστίν." ταῦτα δὲ C ἀκούσας πλέον ἐμαίνετο κατὰ τῆς ἀληθείας. εἶχεν δὲ καί τινας ἀσεβεῖς ἄνδρας συνεργοῦντας αὐτῷ, δι' ὧν καὶ τοὺς δόλους κρυπτῶς ἐτέκταινεν. καὶ παρασκευάζει δι' αὐτοὺς τοὺς ἀσεβεῖς στρατιώτας τοῦ λιθάσαι τὴν εἰκόνα τοῦ Χριστοῦ τὴν οὖσαν ἐν τῇ χαλκεπωνύμῳ πύλῃ τοῦ παλατίου. καὶ λοιπὸν ἤρξαντο βάλλειν κατὰ τῆς εἰκόνος λίθους καὶ πηλά, λέγοντες ῥήματα πάσης ἀφροσύνης καὶ ἀσεβείας μεστά, ᾅδην ἀποκαλοῦντες καὶ διάβολον καὶ ἄλλα τινά, ἃ μὴ θέμις εἰς μέσον ἀγαγεῖν. καί φησιν ὁ τύραννος πρὸς τὸν λαὸν "ἄς καταβάσωμεν ἐκεῖθεν τὴν εἰκόνα, ἵνα μὴ ὁ στρατὸς ἀτιμάζῃ

trectatis, et aequo cultu colendas imagines palam coram omnibus declarare renuitis?" eam ob rem illis contemptis, plura Leo minatus discedere imperavit, et adversus rectam fidem exsibilare perseverans, quae animo concepisset, exequi moliebatur. illi dimissi maerore et tristitia detinebantur, nequam eius omne consilium patriarchae renuntiantes. postmodum orthodoxi cuncti clerici monachi et laici vigilias per totam noctem habuerunt, ut deus eorum consilium dissiparet deprecantes. haec ita geri a patriarcha discens infoelix imperator significat pontifici "ut quid hoc agis?" respondet ille "nihil mali fecimus: deum tantum rogavimus ut ecclesiam suam, modo ipsi placeat, imperturbatam conservet." his auditis adversus veritatem magis ac magis insaniebat. aderant porro homines impii, quorum opera clam dolos texebat, qui coeptis favebant; et eorum ope milites irreligiosos, qui Christi imaginem ad palatii portam, cui Chalces sive Aereae nomen, lapidibus tunderent, parat et impellit. coeperunt itaque lapides et lutum in imaginem mittere, verba totius stultitiae impietatisque plena proferentes, et Orcum diabolumque et alia plura, quae in medium producere nefas est, pronuntiantes. tyrannus populum allocutus ait "imaginem inde deponamus, ne forte milites eam dehonestent," in hoc Leonem Isaurum imitatus, et aequales im-

αὐτήν," μιμούμενος ἐν τούτῳ Λέοντα τὸν Ἴσαυρον, ὡς βουλόμενος D τοὺς χρόνους αὐτοῦ βασιλεῦσαι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐπάνω τῆς εἰκόνος ὅτι ἣν καθεῖλε πάλαι Λέων ὁ δεσπόζων, ἐνταῦθα ἀνεστήλωσεν Εἰρήνη· οὗτος γὰρ ὁ Λέων αὐτὴν καθεῖλε, ἐπεὶ ἀφ' οὗ ἡ πόλις ἐκτίσθη, αὐτὴ ἡ εἰκὼν ἦν. καὶ τοῦτο ποιήσας ἔδωκεν παρρησίαν τοὺς τοῦ διαβόλου συνεργούς, λέγω δὴ Ἀντώνιον καὶ Ἰωάννην καὶ τοὺς μετ' αὐτῶν. καὶ λοιπὸν τούτων γενομένων συνήγοντο πάντες οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ εἰς τὸ πατριαρχεῖον, καὶ ἀνεγίνωσκον πάσας τὰς χρήσεις τῶν πατέρων, ἅσπερ οἱ ἐναντίοι κακούργως καὶ ἀμαθῶς προέφερον, ἑρμηνεύοντος αὐτὰς τοῦ πατριάρχου, καὶ λέγοντος πρὸς πάντας "μή ἔχετέ τις λεγόμενόν P.439 τι ἐν τούτοις, ἀδελφοί;" καὶ ἀνέκραξαν πάντες "ἴσμεν καὶ πεπληροφορήμεθα ὅτι ἀληθής ἐστι ἡ πίστις ἡμῶν καὶ πάντες εἰς τοῦτο ἀποθνήσκομεν." καὶ ὁ πατριάρχης πρὸς αὐτοὺς "λοιπὸν οὖν, ἀδελφοί, ἐν ὁμονοίᾳ ἐσώμεθα καὶ συνημμένοι ἐν μιᾷ ψυχῇ ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἀδιαιρέτως, καὶ μὴ εὕρωσίν τινα ἐξ ἡμῶν ἀποχωρίσαι οἱ τῆς ἐναντίας μοίρας, καὶ οὐ μὴ ἰσχύσωσιν· πλείους γὰρ αὐτῶν ἐσμὲν χάριτι Χριστοῦ." οἱ δὲ πάλιν ἀνέκραξαν διαβεβαιούμενοι ἕως θανάτου ἀντέχεσθαι καὶ ὑπερμαχεῖν ὑπὲρ τῆς ἐκκλησίας, ποιήσαντες σταυροὺς καὶ ἔγγραφα εἰς ἀλλήλους τοῦ μὴ χωρίζεσθαι. B ταῦτα ἐπράχθη πρὸ τῶν ἑορτῶν. φθασάντων δὲ τῶν ἑορτῶν 14

perii eius annos studens consequi. ad caput enim imaginis legebatur scriptum "quam deposuit quondam Leo principatum assecutus, huc restituit Irene." illam quippe Leo deposuerat, et ab ipso urbis conditu ibi imago fuerat reposita. hoc peracto diaboli auxiliariis, Antonio inquam et Ioanni et facinorum sociis, quidquid perpetrandi facultatem permisit. his ita gestis episcopi et monachi cuncti in patriarchium conveniebant, et dicta patrum omnia perlegebant, quae adversarii malitiose et inerudite interpretabantur. patriarcha vero sensum eorum reddente et ad omnes sermonem dirigente "num habetis aliquid quod verbis istis exprimatur, fratres?" exclamavere cuncti "novimus, et certi sumus veram esse fidem nostram. in hac morimur omnes." ad illos patriarcha "superest, fratres, ut concordes perseveremus, et animis coniuncti hac in confessione absque dissensu remaneamus, ut adversae partis homines nullum reperiant quem separent a nobis, nec id exequi valeant. gratia enim Christi plures illis sumus." illi rursus cum clamore firmaverunt ad mortem usque obstituros et pro ecclesia dimicaturos, appositisque crucibus ad subscriptiones scriptis sibi mutuo fidem fecere, nunquam ab invicem se

δηλοῖ ὁ πατριάρχης τὸν βασιλέα λόγους νουθεσίας, ἅμα καὶ
15 παρακαλῶν αὐτὸν μὴ σκυλῆναι τὴν ἐκκλησίαν, ἣν πολλῷ κό-
πῳ οἱ πατέρες ἐπῳκοδόμησαν ἐν τῇ ὀρθοδόξῳ πίστει, ἀποδιώ-
ξαντες πᾶσαν αἵρεσιν, λέγων ὅτι εἰ δι' ἐμὲ γίνονται ταῦτα
τὰ σκάνδαλα κατὰ τῆς ὀρθῆς πίστεως, ἐμὲ ἐξεώσασθε, καὶ
εἴ τινα βούλεσθε, ποιήσατε· μόνον τὴν πίστιν μὴ παρασα-
λεύσητε. καὶ ἀποκριθεὶς ὑπούλως καὶ δολερῶς ὁ δικαίως
ἐπικληθεὶς χαμαιλέων εἶπεν. "καὶ τίς" φησὶν "τολμᾷ καθε-
C λεῖν ἢ ἐξεῶσαι τὸν πατριάρχην τὸν πατέρα ἡμῶν, ἢ τὴν ἐκ-
κλησίαν παρασαλεῦσαι; μικρὸν ἠρευνήσαμεν διὰ τοὺς λα-
λοῦντας, ἐπεὶ ὡς πιστεύει ἡ ἐκκλησία, κἀγὼ πιστεύω." καὶ
16 ἐκβαλὼν ἐκ τοῦ κόλπου αὐτοῦ σταυρὸν ἔχων εἰκόνα προσε-
κύνησεν ἐνώπιον πάντων. ἐποίησεν δὲ τοῦτο οὐκ ἀληθεύων
ἀλλ' ἐν ὑποκρίσει, βουλόμενος διαβάσαι τὴν ἑορτήν. οὐδεὶς
γὰρ ἠδύνατο καταλαβέσθαι τὴν πανουργίαν αὐτοῦ· ἄλλα
γὰρ τὸ στόμα αὐτοῦ ἐλάλει, καὶ ἕτερα ἡ καρδία αὐτοῦ ἐβού-
λετο. ταῦτα τοίνυν ἀκούσαντες ὅ τε πατριάρχης καὶ οἱ ἐπί-
σκοποι ἐχάρησαν, νομίζοντες ἀληθεύειν αὐτόν. καὶ προελθὼν
D τῇ Χριστοῦ γεννήσει ἐν τῇ ἐκκλησίᾳ εἰσῆλθεν ἐν τῷ θυσια-
στηρίῳ κατὰ τὸ ἔθος τῶν βασιλέων, καὶ προσεκύνησεν τὴν ἐν-
δυτὴν τὴν ἔχουσαν τὴν ἁγίαν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ. καὶ λοιπὸν ἰδόντες πάντες ἐπληροφορήθησαν, μὴ

separandos. haec ante festa peracta sunt. imminentibus porro festis, variis monitis ac sermonibus imperatori significat et precibus simul sollicitat patriarcha, ne depraedationibus exponatur ecclesia, quam labore multo patres antiqui aedificaverant in recta fide, et ab omni haeresi expurgatam reliquerant; dicebatque "si propter me adversus sinceram fidem oriantur scandala, eiicite me, et si quem alium desideratis, patriarcham instituite: tantum fidem sartam tectam custodite." istis versute et dolose, qui Chamelaeontis nomen merito gerebat, respondit, et dixit "ecquis audet deponere patriarcham patrem nostrum, aut eiicere, vel ecclesiae statum immutare? modicum quid sane investigavimus, propter eos qui superfluis sermonibus indulgent ceterum, ut credit ecclesia, ita credo ego." eductamque e sinu imaginem habentem crucem coram omnibus adoravit. istud vero gessit non ut veritatem testaretur, sed ut festi celebritatem perageret facilius. nullus enim subdolam hominis mentem capere poterat: verum ore unum aliquid publicante aliud cor meditabatur. his igitur auditis patriarcha et episcopi gavisi sunt, verum enuntiari putantes. solemni deinde pompa in Christi nataliciis procedens ecclesiam ingressus est, et coram altari ex imperatorum consuetudine stetit, et corporale sacra domini nostri Iesu Christi nativitate in eo depicta

ἰδόντες τὸν δόλον καὶ τὴν πανουργίαν αὐτοῦ. φθασάσης δὲ καὶ τῆς ἑορτῆς τῶν φώτων προῆλθεν ὁμοίως, καὶ εἰσελθὼν οὐ προσεκύνησεν· καὶ ἔγνωσαν πάντες ὅτι ἐν ὑποκρίσει τὸ πρῶτον ἐποίησεν καὶ οὐκ ἐν ἀληθείᾳ. καὶ δὴ πληρωθεισῶν τῶν ἑορτῶν ἤρξατο πάλιν ἐπιτίθεσθαι ὡς ὁ Φαραὼ τὸν Ἰσραήλ, καί τινας ἐπισκόπους ὑπέκλεπτεν κολακείαις καὶ ὑποσχέσεσι δώρων, οἵ τινες καὶ ὑπήκουον αὐτόν, ἀγαπῶντες τὸν P. 440 νῦν αἰῶνα, καὶ οἱ πρὶν διαβεβαιούμενοι ἀποθνήσκειν ὑπὲρ τῆς ἀληθείας καὶ πήξαντες σταυροὺς σχεδὸν πάντες ἐστράφησαν εἰς τὸ ἐναντίον. καὶ δηλοῖ τὸν πατριάρχην διά τινων τῶν ἀποστατησάντων ἐπισκόπων ὅτι μικρὸν σύνελθε ἡμῖν, ἵνα περιέλωμεν πάντα τὰ χαμηλά· ἐπεὶ εἰ οὐ βούλει, γνῶθι ὅτι οὕτως οὐ παραχωροῦμεν αὐτόθι σε εἶναι. οὓς ὁ πατριάρχης ἐξουθενώσας ὡς ἐφιόρκους σταυροπάτας, τὸν βασιλέα ἐμήνυσεν ὅτι ὃ βούλει ποίησον· ἐγὼ γὰρ ἐκ τῶν ὁρισθέντων εὐσεβῶς ὑπὸ τῶν πατέρων οὔτε ἐπιδιατάσσομαι οὔτε συνέρχομαι 17 τοῖς ἐναντίως φρονοῦσιν. καὶ ἐν τούτοις ὄντων ἔπεσεν εἰς B ἀσθένειαν ὁ πατριάρχης, ὥστε ἐν ὀλίγαις ἡμέραις ἀπογνωσθῆναι αὐτὸν ὑπὸ τῶν ἰατρῶν. καὶ μαθὼν ὁ βασιλεὺς μικρὸν ἡσύχασεν, λογιζόμενος ὅτι ἀποθνήσκοντος αὐτοῦ πάντα εὐμαρῶς ποιῆσαι ἔχει ἅπερ βούλεται. καὶ λοιπὸν ἀθρόον ἐκ τοῦ παραδοξοποιοῦ θεοῦ μικρὸν διεφορήθη. ὅπερ μαθὼν ὁ 18

1. εἰδότες?

insigne adoravit et osculatus est. tali spectaculo cunctis, dolum et versutiam eius ignorantibus, factum satis. insequente pariter luminum festo aequali modo processit, et ingressus non adoravit; primumque illud simulanter haud vere exhibitum cognoverunt. peractisque proinde festorum solemnibus coepit aggredi velut Pharao Israelem, et episcoporum quosdam blanditiis promissisque suffurabatur. et qui ipsi morem gesserunt, ex eo quem habebant ad praesens saeculum affectu, quippe prius iuramento interposito et crucibus appositis pro veritate morituros se affirmabant, singuli ferme conversi sunt in partem adversam. eam ob rem per desertores episcopos patriarchae significat "condescende modicum nobis, et futilia quaeque resecabimus: si nolueris, in throno te residere non permissuros scito." his spretis tanquam periuris et cruciculcis patriarcha imperatori denuntiat "quod lubet exequere, dogmatibus quippe a patribus pie definitis nihil unquam insuper addo, neque contrarium sentientibus adstipulor." haec dum geruntur, in infirmitatem decidit patriarcha, adeo ut diebus paucis salus eius a medicis desperaretur; cuius imperator certior factus, de vi facta non nihil remisit, eo mortuo cuncta se pro voluntate facilius executurum cogitans. ceterum dei manu mi-

χαμαιλέων παρασκευάζει λάθρα διά τινων τοὺς στρατιώτας
19 ἀνελθεῖν εἰς τὸ πατριαρχεῖον καὶ συρτὰ καταβάσαι αὐτόν. ἦν δὲ ἡ παρείσβασις τῶν νηστειῶν. καὶ συναχθέντες παμ-
C πληθεὶ ὥσπερ οἱ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ μετὰ μαχαιρῶν καὶ ξύλων, ἐγέμισαν τὰ προαύλια τῆς ἐκκλησίας, κράζοντες καὶ βοῶντες ἀτάκτως. καὶ λοιπὸν ἤρξαντο ἀνασκάπτειν καὶ ἀναθεματίζειν τοὺς ἐν ὁσίᾳ τῇ μνήμῃ Γερμανὸν καὶ Ταράσιον καὶ Νικηφόρον. ἅπερ ἀκούσας ὁ πατριάρχης ηὐχαρίστησε τῷ θεῷ μετὰ δακρύων ὅτι ἠξιώθη ὑπὲρ εὐσεβείας ταῦτα ἀκοῦσαι. καὶ δὴ ὥρμησεν ὁ λαὸς ὁμοθυμαδὸν πρὸς τὸ ἀνελθεῖν εἰς τὸ πατριαρχεῖον. καί τις Θωμᾶς πατρίκιος ἀπὸ δισυπάτων γενόμενος, ὃς τότε τὴν ἐκκλησίαν παρέλαβεν ὑπὸ τοῦ βασιλέως, ἀσφαλίσας τὰς πύλας τοῦ πατριαρχείου
D ἀπεδίωξεν αὐτοὺς ὡς δῆθεν τοῦ βασιλέως χωρὶς ταῦτα ποιοῦντας. καὶ λοιπὸν ὁ προειρημένος ἀνὴρ ἀπελθὼν πρὸς τὸν χαμαιλέοντα εἶπεν αὐτῷ τοῦ λαοῦ τὴν ἄτακτον ῥύμην. ὁ δὲ ἀεὶ ψεύστης ὢν ἠρνήσατο εἰδέναι, μηδὲ ἀπεστάλθαι παρ' αὐτοῦ. ἀλλά, φησίν, ἀνάγκην ἔχουσιν καὶ πόνον οἱ λαοί, καὶ διὰ τοῦτο οὕτως ἐποίησαν. καὶ λέγει ὁ Θωμᾶς ὅτι εἰ κελεύεις αὐτόν, δέσποτα, ἐξεῶσαι, οὐ πολλῶν ἐστὶ χρεία. δύο ὀνόματα ἀπόστειλον, καὶ τοὺς ἔχοντας αὐτὸν βαστάσαι· οὐ γὰρ δύναται περιπατῆσαι ἀφ' ἑαυτοῦ ἐκ τῆς νόσου, καὶ οὕτως

raculorum effectrice non nihil sublevatus est patriarcha; quod cum rescisset Chamelaeon, quorundam ope milites in patriarchium clam penetrare disposuit, et silenter eum abducere. erat porro ieiuniorum initium. conferta itaque multitudine coacti, velut Iudaei in Christum insilientes, cum gladiis et lignis ecclesiae atrium repleverunt, clamantes et tumultuose vociferantes; coeperuntque execrari et diris devovere sancta in memoria defunctos Germanum, Tarasium et Nicephorum. quae quidem audiens patriarcha deo cum lacrimis gratias egit, quod pietatis defendendae causa haec audire mereretur. confestim conspiranti impetu populus insiliit, ut in patriarchium ingrederetur. mox Thomas quidam patricius, bis exconsul, qui tunc velut imperatoris iussu ecclesiam tutandam susceperat, portis patriarchii occlusis eos removit, velut inscio imperatore istiusmodi facinora molitos. protinus ad Chamelaeontem praefatus vir profectus inordinatum populi motum denuntiavit. ille pro solito mendax, se quicquam scire vel quemquam a se missum negare: "verum" inquit "necessitate compulsus et animi maerore tactus populus in huiusmodi factum prorupit." subinfert Thomas "si eum iusseris expelli, domine, non opus multis. tantum homines duos mitte, aliosque qui efferant: non enim ingravescente valetudine a se potest procedere; atque ita discedet." id

ἐξέρχεται. ὃ δὴ καὶ ἐποίησεν. τῇ νυκτὶ ἀποστείλας τινὰς ἐξέωσεν αὐτὸν τῆς ἐκκλησίας, καὶ καταγαγόντες μετὰ φόρου οἱ ἀποσταλέντες ἔστησαν μέσον τῆς ἀγορᾶς τοῦ Μιλίου, ὅπως P. 441 τινὲς τῶν στρατιωτῶν ἀποκτείνωσιν αὐτόν. καὶ ἐπειδὴ βράδιον ἦν καὶ πάντες ὕπνῳ κατεφέροντο, οὐδεὶς ἐσαλεύθη. καὶ ποιήσαντες ὡσεὶ μιῶριν, καὶ μηδὲν ἀνύσαντες περὶ οὗ ἐβούλοντο, ἦραν αὐτὸν ἐκεῖθεν καὶ κατήγαγον εἰς ἀκρόπολιν καὶ βαλόντες ἐν ἀκατίῳ ἔρριψαν πέραν εἰς Χρυσόπολιν. καὶ τὸ πρωῒ ποιήσας σελέντιον ὁ υἱὸς τῆς ἀπωλείας εἶπεν πρὸς τὸν λαὸν "οἴδατε, ἀδελφοί, ὅτι ὁ πατριάρχης παρεάσας τῆς ἐκκλησίας ἀνεχώρησεν, διότι ἐλέγομεν αὐτῷ περὶ τῶν εἰκόνων, ὅτι κακῶς προσκυνοῦνται, καὶ ὅτι διὰ τοῦτο τὰ ἔθνη κυριεύουν ἡμῶν. αὐτὸς δὲ μὴ ἔχων εὔλογόν τι ἀπολογήσασθαι, B ὀργισθεὶς καὶ ἀτιμάσας ἡμᾶς ἀνεχώρησεν. καὶ λοιπὸν ἀνάγκην ἔχομεν ἕτερον πατριάρχην ποιῆσαι." καὶ ταῦτα ψευσάμενος ἔπεισεν τὸν λαὸν ὅτι παρῃτήσατο. καὶ δὴ βουλομένου αὐτοῦ ποιῆσαι Ἰωάννην τοῦ Παγκρατίου, καθ' ὃ καὶ προσυνέθετο αὐτῷ, διεκωλύθη παρὰ τῶν πατρικίων λεγόντων ὅτι νέος ἐστὶ καὶ ἀφανής, καὶ οὐ δεῖ ἡμᾶς γέροντας προσκυνεῖν καὶ προσπίπτειν ἔμπροσθεν αὐτοῦ· ἀλλὰ μᾶλλον ἐκ τοὺς εὐγενοῦς καὶ ἐμφανεῖς καὶ χρόνῳ προβεβηκότας γενέσθω. καὶ δὴ ἐπελέξατο Θεόδοτον υἱὸν Μιχαὴλ πατρικίου τοῦ

2. φορείου margo P

ita fecit, summissis nocte qui patriarcham eiicerent ecclesia. quare qui missi fuerant, lectica patriarcham abducentes medio Milii foro steterunt, ut eum militum quidam occiderent. erat porro profunda nox, somnoque cunctis depressis nullus se movit. post mediam horam, in nullo quorum erat molimen proficientes, tulerunt eum inde et in arcem abduxerunt, lintrique impositum trans fretum ad Chrysopolim proiecere. mane comitiis habitis filius perditionis ad populum sermonem habuit. "videtis, fratres, ut patriarcha ecclesia derelicta discesserit, quod cum eo de imaginibus fuerimus collocuti, et exposuerimus propter eas a gentibus nos affligi. is vero responsi congrui penitus ignarus, ira praeceps et nobis neglectis abiit. alium igitur patriarcham institui necesse est." ita mentitus persuasit populo eum abdicasse se dignitate: Ioannem quippe Pancratii filium, ut prius cum eo pactus erat, ad istiusmodi dignitatem promovere studebat. a patriciis tamen in hunc morem monentibus prohibitus est. "iuvenis est" inquiebant "et ignobilis: neque decet nos senes eum venerari et coram eo procidere, quin potius ex ingenuis et illustri familia natis aetateque provectis patriarcha promoveatur." eam ob rem Theodotum Michaelis patricii Melissini, Constantini imperatoris Caballini

C *Μελισινοῦ, συγγάμβρου ὄντος Κωνσταντίνου τοῦ βασιλέως τοῦ Καβαλλίνου κατὰ τὴν τρίτην αὐτοῦ γυναῖκα. αὐτὸν τὸν Θεόδοτον, σπαθαροκανδιδάτον ὄντα, συνθέμενον τῷ δόγματι αὐτοῦ ἐκούρευσεν στεφανίτην, καὶ ἐποίησεν αὐτὸν πατριάρχην, χειροτονήσαντες αὐτὸν τὸ πάσχα, ἄνθρωπον μηδὲν πνευματικὸν ἐπιστάμενον μηδὲ παιδευθέντα τῇ γραφῇ ἀλλ' ἢ ὀλίγου τινός, καὶ μηδεμίαν εὐσέβειαν κεκτημένῳ, μόνον ὅτι πρᾶος ἦν καὶ ἐφαίνετο τοῖς ἀνθρώποις ἐνάρετος. οὗτος εἰσελθὼν εἰς τὸ πατριαρχεῖον ἤρξατο ποιεῖν ἀριστόδειπνα πολυτελῆ διὰ κρέατος, καὶ τοὺς ἐκ νέας ἡλικίας μὴ φαγόντας κρέα κληρι-*
D *κοὺς καὶ μοναχούς, οὐ μὴν ἀλλὰ καὶ ἐπισκόπους ἐποίησεν διαλῦσαι καὶ ἐσθίειν ἀφειδῶς· καὶ ἔνθα ποτὲ ἦν εὐλάβεια πολλὴ καὶ σεμνότης καὶ ἐγκράτεια καὶ ἀρετή, ἦν ἰδεῖν γέλοια καὶ παιγνίδια καὶ παλαίσματα καὶ αἰσχρολογίας γενομένας, μὴ ἔχοντος διδασκαλίαν τὴν οἱανοῦν. καὶ λοιπὸν μετὰ τοῦ πάσχα ποιεῖ σύνοδον ὁ χαμαιλέων ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ λεγομένῃ Σοφίᾳ, καὶ καθίσας τὸν αὐτὸν Θεόδοτον, ὃν ἔλεγεν Κασσιτερᾶν, ὡς ἅτε πατριάρχην, καὶ Συμβάτιον τὸν υἱὸν αὐτοῦ, ὃν ἐπέθηκεν Κωνσταντῖνον, καί τινας ἀσεβεῖς ἐπισκόπους, παρεσκεύασεν πῆξαι σταυροὺς κατὰ τῆς ἀληθείας, αὐτὸς εὐ-*
P. 442 *λαβηθεὶς πῆξαι σταυρὸν διὰ τὸ πρότερον καθυπογράψαι ἐν τῷ βασιλεύειν αὐτὸν εἰς τὴν ὀρθόδοξον πίστιν τοῦ μὴ παρα-*

6. ἢ] ἢ ἐξ Comb

ob tertiam eius coniugem leviri, filium elegit: istum, inquam, Theodotum spatharocandidatum, opinatis eius consentientem, maritali nuptiarum corona notatum, tonderi iussit et patriarcham consecrari. celebrata est ordinatio eius paschatis festo, hominis, inquam, qui nihil spirituale calleret, nulla scripturae parte foret eruditus nisi forte levissima, qui nullam erga deum pietatem ostentaret; tantum quod mansuetudine praestaret, et bonus hominibus appareret, commendabatur. hic cum patriarchalem dignitatem subiisset, opipara meridiana serotinaque carnibus appositis coepit agitare convivia, clericosque et monachos nec non episcopos, a iuvenili aetate carnium esu abstinentes, continentiam abrumpere et ad ingluviem comedere compulit; et ubi primum pietas plurima, honestas, continentia et virtus enitebat, ibi risus lusus luctas turpiloquia haberi absque disciplinae cuiuscumque iugo vidisses. post pascha igitur convocat synodum Chamaeleon ad magnam ecclesiam nomine Sapientiam, et Theodoto, quem Cassiteram appellabat, velut patriarcha sedere iusso, filioque eius Symbatio, cui Constantini nomen imposuit, et quibusdam aliis irreligiosis episcopis in consessum inductis, cruces et iuramenta adversus veritatem figere disposuit. ipse crucem exarare veritus, quod prius, cum

σαλεύειν αὐτήν· ὅπερ ὁ ἄθλιος οὐκ ἐφύλαξεν. καὶ λοιπὸν ἀναγνώσαντες τὸν τόμον ὃν ἐποίησαν οἱ τοῦ ψευδοσυλλόγου προασπισταί, ὃν ἐπωνόμασαν ὅρον τῆς ἑβδόμης συνόδου τῆς ἐν Βλαχέρναις, ἀναθεματίσαντες οἱ τοῦ ἀναθέματος κληρονόμοι τοὺς ὀρθοδόξους ἡμῶν πατριάρχας, ἤγαγον δέ τινας μητροπολίτας καὶ ἐπισκόπους τῶν ὀρθοδόξων τυραννικῶς σύροντες, ῥήξαντες ἐν μέσῳ τῆς ληστρικῆς αὐτῶν συνόδου, ἐπάτησαν, ὡς δῆθέν τι εὐσεβὲς ποιοῦντες οἱ ἀσεβεῖς, καὶ παραδόσαντες αὐτοὺς τοῖς στρατιώταις αἱματοφύρτους ἀπήγαγον εἰς B τὰς φυλακὰς καὶ εἰς τὰ δεσμωτήρια· ποιήσαντες δὲ ἡμέρας τινὰς ἐκεῖσε πάλιν ἐξήγαγον, καὶ ἀνακρίναντες καὶ εὑρόντες μὴ πειθομένους τοῖς ὑπ' αὐτῶν λεγομένοις ὑπέμνησαν τὸν ἀρχηγὸν τοῦ ψεύδους, καὶ ἀπέστειλαν αὐτοὺς εἰς ἐξορίαν· οὕς τινας καὶ ἐν τῇ ἐξορίᾳ πέμπων ἐβασάνιζεν. λοιπὸν οὖν λαβὼν τὸ κράτος τῆς ἀσεβείας πᾶσαν πονηρὰν δραματουργίαν εἰργάζετο, τὰς δὲ ἁπανταχοῦ εἰκόνας τῶν ἐκκλησιῶν κατέστρεψεν καὶ κατέκαυσεν, καὶ ἱερὰ σκεύη συνέτριψεν ἔχοντα εἰκόνας, καὶ τοὺς τολμῶντας λαλῆσαί τι ἐγλωσσοκόπησεν· τοὺς μὲν ἐφόνευσεν ἀπὸ δαρμοῦ, καταστήσας καὶ δηλάτορας ἀν- C θρώπους ἀσεβεῖς, ἵνα ὅπου ἂν εὕρωσί τινας μὴ κοινωνοῦντας καταμηνύσωσιν. οὕς τινας εὑρισκομένους δαρμῷ ἀφορήτῳ καθυπέβαλλεν, δημεύων καὶ τὰς ὑποστάσεις αὐτῶν, καὶ

regnum capesseret et orthodoxam fidem non immutaturum se profiteretur, quod infelix haud custodivit, iuramentum interposuit. hoc pacto tomum illum a pseudosynodi (quam septimae synodi ad Blachernas decretum vocaverunt) defensoribus editum coram legerunt, et orthodoxos patriarchas nostros anathematis haeredes anathemate percusserunt, et more tyrannico metropolitas et episcopos orthodoxos per vim tractos et in medium praedatoriae istius synodi proiectos conculcaverunt pedibus, quasi pietatis opus impietatis ministri agerent, et proprio sanguine infectos militibusque traditos in custodias et carceres detruserunt. ibique diebus aliquot detentos rursum eductos et examinatos morem dictis suis gessisse non reperientes, imperatore mendacii auctore de iis monito, in exilium miserunt; quos insuper in exilio positos missis tortoribus variis suppliciis affecit. una igitur cum imperio facinus quodvis impium perpetrandi potestate arrepta, nullum scelus sibi non admittendum decrevit, a nullo crimine sibi putavit temperandum. imagines vero per ecclesias ubivis erectas deposuit et combussit, sacraque vasa caelatis imaginibus insignia contrivit. de his obmutire ausis linguas abscidit, istos contudit verberibus, alios delatoribus et impiis hominibus institutis, ut ubicunque aliquos sibi non communicantes reperirent, accusari permisit. repertos autem

εἰς ἐξορίαν ἀποστέλλων οὐ μόνον ἄνδρας ἀλλὰ καὶ γυναῖκας. καὶ τί δεῖ λέγειν τὴν σκοτόμηναν τῶν τότε κακῶν; τοὺς γὰρ μεταβάντας πιστοὺς ἔν τισι κλίμασι καὶ εἰς χώρας τὰς μὴ προσηκούσας αὐτῷ πέμπων εἰς τοὺς τοπάρχας τῶν ἐθνῶν ἐζήτει πιάσαι, ἄλλος Ἀντίχριστος γενόμενος, ὅθεν πολλοὺς ἐπισκόπους καὶ μοναχοὺς συλλαβὼν ἀπέκτεινεν καὶ ἐθαλάσσωσεν. τοὺς ἐξορίστους ἐπισκόπους καὶ μοναχοὺς ἀνεκαλέσατο

verberibus intolerandis subiiciebat, facultates publico addicebat, et in exilium pellebat non viros solum sed et mulieres. quid malorum illorum caliginem memorare necesse est? fideles enim decretorum suorum transgressores in alienas regiones missos a locorum dominis gentilitate detentis comprehendi novus Antichristus factus curabat; ex quo episcopos et monachos plures ea detentos occidit, et exilio multatos episcopos maris insulis inclusit. monachos revocavit

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΓΓΡΑΦΗ

ΤΗΣ ΚΑΤ ΑΥΤΗΝ ΑΛΩΣΕΩΣ.

ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΣΥΓΓΡΑΦΗ
ΤΗΣ ΚΑΤ ΑΥΤΗΝ ΑΛΩΣΕΩΣ.

EUSTATHII ARCHIEPISCOPI
DE CAPTA THESSALONICA
NARRATIO.

Εὐσταθίου τοῦ Θεσσαλονίκης συγγραφὴ τῆς εἴθε ὑστέρας 267 ed. Tafel.
κατ' αὐτὴν ἁλώσεως, ἠρρωστημένης μὲν ἐπὶ τῆς κατὰ τὸν Κομνηνὸν Ἀνδρόνικον δυσδαίμονος βασιλείας καχεξίας λόγῳ, ἣν ἐκεῖνος φαῦλα διαιτῶν κατὰ τῆς οἰκουμένης πολλὴν ἐκ μακροῦ ἤθροιζε, ταχὺ δὲ πάνυ τεθεραπευμένης ὑπὸ τοῦ ἐλευθερωτοῦ, μεγάλου βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου, διαδεξαμένου ἐκεῖνον εὐδαιμόνως καὶ εὐτυχῶς τῷ κόσμῳ, προνοίᾳ καὶ εὐμενείᾳ θεοῦ, μετ' οὐ πολλὰς ἡμέρας τοῦ ἁλῶναι τὴν πόλιν, ἐν τῷ χρήσασθαι ὀξυχειρίᾳ ἔργων, ὡς δέον μάλιστα ἦν, ἧς αὐτῷ θεὸς συνεφήψατο, καθὰ λόγος ἕτερος καιρὸν εὑρηκὼς περιηγήσεται.

Eustathii archiepiscopi de captà Thessalonica (capta utinam postremum) narratio, quum ea urbs graviter afflicta esset infausto Andronici Comneni imperio propter magnam, quam ille prava administratione per orbem terrarum undecunque conflabat miseriam, sed mox restitueretur felicissime a liberatore et imperatore eximio, Isaacio Angelo, qui prospere et orbi terrarum saluberrime providentia et gratia dei non multis post ,captam urbem diebus illum excepit, magna usus, qua sane quam opus erat, et quam illi deus impertiverat eximiam, agendi alacritate, quemadmodum, tempus et occàsio nisi deerunt, libro explicabitur alio.

Προθεωρία τῆς τοιαύτης συγγραφῆς.

Πόλεων ἁλώσεις ἱστορούμεναι εἴτε συγγραφόμεναι μεθόδοις διοικοῦνται ὡς τὰ πολλὰ ταῖς αὐταῖς. οὔτε δὲ ἁπάσας τὰς ἐπιβαλλούσας ἠναγκασμένως ὁ γράφων διαχειρίσεται, οὐδὲ μὴν τὰς ἀμφοτέρωθι χρηστὰς ὡσαύτως διοικονομήσεται· ἀλλὰ καθιστορῶν μὲν καὶ ἀπαθῶς γράφων καὶ θεολογήσει ἔστιν οὗ, καὶ πρὸς φύσεως λόγον ἐμπλατυνεῖται, καὶ τὴν φράσιν δὲ ψιμιθιώσει πρὸς κάλλος ἀφειδέστερον, καὶ τοπογραφήσει, καὶ ἐκφράσεσιν ἐναγλαΐσεται, καὶ ὅλως οἷα ἔξω πάθους λαλῶν πολλὰ διαθήσεται πρὸς χάριν ἀκοῆς, οὐκ ἀφέξεται δὲ οὐδὲ τῶν ὡς εἰκός, στοχαζόμενος αὐτὸς ἐνταῦθά γε, ὅτι μηδὲ παρῆν τοῖς ἀφηγουμένοις κακοῖς, ὡς καὶ παθαίνεσθαι καὶ αὐτὰ δὴ φράζειν ἐκεῖνα. καὶ οὕτω μὲν ὁ τὰ πρὸς ἱστορίαν δηλῶν· ὁ δὲ καὶ συγγραφόμενος καὶ χρωτισθεὶς τῷ κακῷ πάντων ἐκείνων προσάψεται μὲν ἀναγκαίως, οὐκ ἐπὶ τοσοῦτον δέ, μόνῳ πλεονάζειν ὀφείλων τῷ πάθει, καὶ αὐτῷ ἀναλόγως τῇ κατ' αὐτὸν προσωπικῇ ποιότητι. τοῦ λαοῦ μὲν γὰρ ὢν τίνα ἂν ἔχοι ψόγον εἰς κόρον παθαινόμενος; βίῳ δὲ ἀνειμένος τῷ κατὰ πνεῦμα, καὶ μεταξὺ τοῦ πενθεῖν καὶ τοῦ εὐχαριστεῖν τῷ κρείττονι οὐκ ἐπιτείχισμα ἐρυμνὸν ἀλλὰ χάος μέγα βλέπων, φείδοιτ' ἂν ἀκράτως τραγῳδεῖν. ὁ δ' αὐτὸς

De tali historia praemittenda disquisitio.

Expugnationes urbium sive priscae sive recentis memoriae quum narrantur, rationibus tractantur plerumque iisdem. neque autem quae locum habent rationes, scriptor necessario cunctas sequetur, nec in utroque genere utiles pari usurpabit modo. sed quum res olim gestas narrat et liber ab affectu animi vehementiori scribit, causas rerum nunc divinas scrutabitur, nunc copiose explicabit naturales, narrationemque ad suavitatem ornabit studiose, descriptionibus locorum indulgebit, gloriosiusque se iactabit in degressionibus, atque omnino, utpote a se aliena narrans, multa ad gratiam audientium conformabit, nec vero reticebit, sua usus divinandi facultate, quae probabilia ipsi videntur, quoniam non interfuit malis, quae narrat, nec vehementius illis commovetur. atque ita quidem scripserit, qui temporum priorum historiam consignaverit. sed qui suae aetatis historiam scribit et ipsa tinctus est calamitate, profecto ad omnia ista devolvetur necessario, sed non pari, atque ille, modo, sola coactus animi cupiditate, modum excedere, idque varie pro varia vitae statione. nam si e laicis sit, quid reprehendatur, si ad satietatem excanduerit? in vita autem spirituali collocatus, atque luctum et erga deum gratiam non vallo firmo, sed

οὐδ' ἂν παίζοι χορεύων ἐν πένθεσιν, ὁποῖον δή τι καὶ τὸ πάνυ καλλύνειν τοὺς λόγους κομμωτικῶς ἐν σκυθρωποῖς πάθεσι. καὶ τὰ ἄλλα δὲ συγγραφικὰ εἴδη σωφρόνως μεταχειριεῖται κατὰ μέθοδον ἰδίαν, οὔτε παράδοξα ἐκτιθεὶς ἀκούσματα κατὰ τὸν ἀπαθῆ ἱστορικόν, οὔτ' ἄλλα ὅσα πρὸς οὐκ ἄκαιρον φιλοτιμίαν καὶ πολυμαθίας ἔνδειξιν οἱ ἔξω πάθους τεχνάζονται.

Εἰ τοίνυν καὶ ἐμὲ τοιόνδε τινὰ ἡ παροῦσα συγγραφὴ 268
διαδείξει, αὐτίκα φανεῖται. ἄρξεται δὲ ὁ ὑποτεταγμένος λόγος ἀναγκαίως ἐξ αὐτοῦ πάθους, ὅτι μηδὲ ἦν τὸν ἐν ἐλεεινοῖς ὄντα μὴ τραγικεύσασθαι τό γε πρῶτον. εἶτα καθιστάμενος τοῦ οἴκτου, καί τι πρὸς βάρος ὑπομεμψάμενος τὸν αἴτιον καὶ συναίτιον τοῦ κακοῦ, γενήσεται τοῦ καὶ εὐκρινῶς καὶ σαφῶς, ἐπί τι δὲ καὶ μεγαλείως ἀφηγεῖσθαι· καὶ πῇ μὲν ἀφελῶς, ὡς ἐχρῆν, πῇ δὲ καὶ γλαφυρώτερον καὶ ἀπὸ κεφαλῆς ἠργμένος, ἧς οὐδὲν καιρίως πρεσβύτερον, καταβήσεται εἰς τὰ ἐχόμενα καθ' εἱρμὸν καὶ τάξιν οὐ πάντῃ ἀπεριλάλητον, καὶ ἅψεται πάλιν τῶν τῆς ἁλώσεως πλατύτερον κατὰ πᾶσαν ἀνάγκην, ἐπεὶ καὶ αὕτη μάλιστα πρὸ ἔργου ὑποβέβληται τῇ συγγραφῇ. ὅτι δὲ καὶ σημεῖα ἐν τοῖς τοιούτοις προφαίνει τὸ θεῖον, ἃ δὴ κἀνταῦθα ἐμφανῶς προέλαμψε, προσεφάψεται καὶ τοιούτων τινῶν ὁ λόγος εἰς σύμμετρον. οὐκ

ingenti separata intervallo videns, caveat profecto, immodice indulgere tragoediae. nec vero luserit idem in luctu choream ducens, qualis est quaesita illa in lugubri calamitate orationis exornatio. idem reliqua, quae ad historiam pertinent, prudenter ratione propria instituet, neque improbabiles rumores adhibens, sicut rerum priscarum scriptores solent, neque alia, quae historici, a calamitatibus, quas narrant, remoti, facere solent, ambitione illi quidem et ostentandae doctrinae studio haud inepto.

Iam vero, num me talem haecce historia scriptorem habitura sit, statim apparebit. ordietur autem narratio nostra necessario ab ipsa calamitate, quoniam fieri omnino non poterat, ut qui in malis versaretur, non lamentaretur certe quidem ab initio. deinde autem, missis lamentis et nonnihil pro merito reprehensis calamitatis auctore et eius socio, clare et perspicue et quadam ex parte adeo elate rem enarrabit ipsam; et quidem nunc simpliciter, prout res postulabat, nunc polite atque ornate; et deflexa nonnunquam a rei capite, quo nihil suo tempore antiquius, descendet ad res nexu et ratione non omnino praetermittenda cum illa coniunctas, ac revertetur rursus ad expugnationem copiosius omni ex parte enarrandam, siquidem id operis praecipue propositum est huic scriptioni. quoniam autem portenta rebus huiusmodi numen

ἀποστήσεται δὲ οὐδὲ τοῦ ἐκθέσθαι ἁμαρτητικὰς αἰτίας, ὧν ἕνεκεν τὰ δεινά, ὃ καὶ αὐτὸ οἱ συγγραφόμενοι ἐν ἔργῳ ἐλλόγως τίθενται. ἀνασκαλεύσει δὲ ἀμυδρῶς ἡ συγγραφὴ τὰ τοιαῦτα αἴτια ἐν ὑστέρῳ τοῦ ὅλου λόγου κατὰ μέθοδον διδασκαλικήν. οὐ γὰρ ἐν ἑτεροίῳ καιρῷ καὶ ἀνέγνωσται καὶ ἐκδέδοται, ἀλλ' ὅτε οἱ προεισόδιοι τῶν νηστίμων ἁγίων ἡμερῶν κατηχοῦνται εἰς ἀκοάς, ὡς ἀποτελευτᾶν τὸν λόγον εἰς διδασκαλίαν ἐκκλησιαστικήν, ἀρξάμενον ἄλλως ἀφ' ὧν κακῶν ἡ πόλις ἔπαθεν.

Ἀρχὴ αὐτοῦ δὴ τοῦ συγγραφικοῦ λόγου τῆς ἁλώσεως.

Ἔφηνε καὶ ὁ καθ' ἡμᾶς ἄρτι χρόνος, εἴπερ τις ἕτερος τῶν πάλαι, ὑπόθεσιν ἣν ἀπαθὴς μὲν ἄνθρωπος καὶ μακρὰν ἑστὼς τοῦ κατ' αὐτὴν κινδύνου μεγάλην εἴποι ἂν καὶ βαρυσύμφορον καὶ πάνδεινον καὶ ἀπευκταίαν καὶ οὐ ῥᾷον φορητὴν καὶ πολυπενθῆ καὶ δακρύων πηγὰς ἐθέλουσαν καὶ τοιαῦτά τινα, ὁ δὲ δικτύων, ὅ φασι, σπειραθεὶς καὶ καθ' ἡμᾶς ἐνειληθεὶς τῷ πράγματι ἴσως μὲν οὐκ ἂν εὐπορήσοι πρὸς ἀξίαν ὀνομάσαι τὸ κακόν, ἐκκρουόμενος οὗπερ ἐθέλει νοεῖν τῷ ποικίλῳ καὶ ἐπαλλήλῳ τῶν συμφορῶν, ὅσαι κατέχασκον ἑκάστου τῶν δυστυχούντων, πολλαῖς καὶ διαφόροις οἰκειούμεναι

divinum praemittere solet, quae sane tum quoque clare micuerunt, illa quoque narratio nostra apte commemorabit. nec praetermissura est, peccata enumerare, unde ortae sint calamitates: quod et ipsum historici recte muneris sui existimant. scrutabitur autem obiter scriptio nostra huius generis causas in posteriore totius operis parte in modum praecipientis. etenim tempore recitata et edita est eo, quo vestibularii solemnis ieiunii ad auditiones congregati instituuntur, ita ut commentatio nostra in orationem ecclesiasticam exeat, profecta aliunde, a malis, quibus urbs afflicta est.

INITIUM IPSIUS DE EXPUGNATA URBE OPERIS HISTORICI.

Nostra nunc aetas, si qua vetusta, calamitatem genuit, quam quisquis ab ea alienus et longe remotus a periculo magnam, gravem, terribilem et detestandam, non facile ferendam, luctuosam et lacrimarum fecundam et aliis id genus nominibus appellaverit; sed ventis, ut aiunt, datus et miseria nobiscum implicatus nemo facile invenerit, quomodo malum illud digne nominaverit, ex loco quippe, quem tenere voluerit, extrusus semper varietate et fluctuatione calamitatum, quae undique inhiabant civibus miserandis, multis illae et variis appellandae nominibus. si tamen quis calamitatem verbo vo-

κλήσεσιν· εἰ δὲ καὶ δυνήσεται κατευστοχῆσαι τοῦ κακοῦ πρὸς ἔπος, ἐρεῖ ἂν αὐτὸ οὐκ ἀπεικότως φωστῆρος μεγάλου ἀφάνειαν, οὐδὲν μὲν ἐκεῖνος λέγων πρὸς πάθος (ἐχρῆν γὰρ ἄλλοις ὀνόμασιν ἐνταῦθα παθήνασθαι), τῷ μεγαλείῳ δὲ ὅμως ὀρθῶς ἐπιβάλλων τοῦ δυσπραγήματος. ἢ γὰρ οὐ τοιοῦτόν τι τὸ τὴν ἐν ταῖς ὑπ' οὐρανὸν πόλεσι πάνυ λαμπρὸν φαίνουσαν Θεσσαλονίκην οὕτω παθεῖν ὡς νῦν ἔχει; ἔχει δὲ ὡς ἂν ἀπεύξαιντο καὶ ἐχθροί, ὡσεὶ καὶ καλὸν εἶδος ἀφανισθὲν λυπεῖ καὶ τὸν ἦν ὅτε ἀπόστοργον. ὤμοι δαίμονος, ὃς οὕτω βριθὺς τηλικαύτης πόλεως εὐετηρίᾳ ἐνήλατο καὶ κατέστρεψεν. ἀπήγαγε μὲν οὖν αὐτὴν τέλεον, ὡς μηδὲ λείψανον ἐναπομεῖναι παλαιᾶς καλλονῆς. καὶ τείχη μὲν αὐτῆς ἠχρειωμένα, καὶ ἱερὰ τὰ πάντα κατῃκισμένα εἰς ὅσον οὐδὲ τόποι τολμητοὶ πᾶσι, καὶ οἶκοι εὐπρεπεῖς κατῃσχυμένοι, καὶ περιουσίαι πολιτῶν αἱ μὲν ἠντλημέναι αἱ δ' ἐκκεχυμέναι καὶ ἄλλως δὲ διεσπαρμέναι, τί ἂν λέγοιντο, ἔνθα οὐκ ἔστιν, ὡς ἐχρῆν, αὐτὰ διΐξεσθαι; τὸ δὲ ἐν τῇ πόλει πλῆθος, οὐ μόνον τὸ στρατιωτικὸν ἀλλὰ καὶ τὸ λοιπόν, ὅσον ἐν ἱερᾷ πολιτείᾳ τῇ κατὰ κόσμον καὶ ὅσον δὲ λαϊκόν, τίς ἂν ἐς ἀξίαν δακρύσειε; καὶ μὴν καὶ ὅσον τοῦ βίου τὸν φλοῖσβον διακρουσάμενον ὡς εἰς λιμένα κατήντησε τὸ ἀπροΐτον τῆς ἐνοικήσεως, πάντες οὗτοι, ὡσεὶ καὶ ἀκρίδες πυρὶ κατὰ λήϊον ἐλαυνόμεναι, τῇ καυστηρᾷ μάχῃ πρὸς ὄλεθρον ἐξετινάσσοντο. καὶ οἱ μὲν πολέμιοι πε-

luerit assequi, haud immerito dixerit sideris eximii occasum: minime ille quidem significans rei miseriam (aliis enim lamentandum foret vocabulis), sed tamen magnitudinem rei recte attingens. annon tale quid est Thessalonicae inter urbes longe splendentis ea, qua afflicta iacet, calamitas? iacet autem ita, ut misereantur etiam inimici, sicuti formosam faciem, quum deleta est, miseretur etiam qui olim oderat. eheu daemonis invidiam, qui tam violenter tantae urbis felicitatem invasit et evertit! delevit eam, ut ne particula quidem pristinae pulcritudinis relicta sit. moenia urbis destructa, atque templa omnia ita dedecorata, ut ne loca quidem turpari solent cunctorum ludibrio obnoxia, aedificia splendida foedata, et bona civium partim exhausta partim dissipata et quocunque modo dispersa: haec, inquam, quo nomine appellentur, quando enarrari, ut par foret, non possunt? multitudinem autem urbis, non modo militarem, sed etiam reliquam, tum vitae mundanae clericos, tum laicos, quis digne lugeat? quid, quod etiam, qui evitarant tempestates vitae et tanquam in portum in claustra monasteriorum penetrarant, omnes, velut locustae flammis per segetes correptae, aestuoso bello in perniciem dabantur? hostes enim circumeuntes flammam irae in omnem civitatem evomebant; illi

ριστοιχίζοντες θυμοῦ πῦρ ἐξέκαιον ἐπὶ τὸν πολιτικὸν ἅπαν· ἐκεῖνοι δὲ οἱ μὲν ἐπικαταλαμβανόμενοι καί που καὶ σπαργανούμενοι πυρὶ τοιούτῳ πάντοθεν οὐκ εἶχον διεκπίπτειν ἀλλὰ πολυειδῆ τὸν κίνδυνον εἶχον, οἱ δὲ ὅσα καὶ σπινθῆρσι τοῖς βέλεσι πόρρωθεν ἔπασχον τὸ κακόν. ἥλιος μὲν νέον προσέβαλλεν ἀρούρας, οὐκ ἔσχε δὲ τὴν θανάσιμον διαλῦσαι νύκτα, ἀλλὰ κατεκαυχᾶτο τοῦ φωτὸς ἡ τῶν πιπτόντων ζόφωσις. οὔπω τις ἔφθη τὸν γλυκὺν ὕπνον ἀποθέσθαι· ὁ πικρὸς καὶ ἀνέγερτος αὐτὸν διεδέχετο, καὶ ὄναρ κακὸν ἐφίστατο ὕπαρ τῇ κεφαλῇ, καὶ ὁ βλέπων αὐτὸ κατέμυεν εἰς θάνατον. ἀπηλλάττετο κλίνης ἐγρηγόρσεως λόγῳ· καὶ ὁ πολέμιος σίδηρος ἄλλως αὐτὸν κατέκλινεν, ὡς ἐκεῖνος χαίρει κοιτάζων. πολλοῖς δὲ καὶ ἡμιγύμνοις ἔτι τὸ κακὸν τοῦτο θηρίον ἐνεφύετο, ἵνα μηδὲ κάμοι τοὺς ὀδόντας ἐντρῖβον σωμάτων καλύμμασι. καὶ στρατιωτῶν μέν, ἤδη δὲ καὶ τῶν ἄλλως ῥωμαλέων ἢ καὶ ὅλως ἀκμαίων εἴπερ ὁ πόλεμος ἐδράττετο καὶ διέσπα, ἐμπείρας ὀξείας ὄνυχας, ἐκαινοπράγει οὐδέν· φιληδεῖ γὰρ σώμασι τοιούτοις ἐκεῖνος, ὑφ' ὧν καὶ συγκροτούμενος θεραπεύεται, ὡς τὰ πολλά. εἰ δὲ καὶ ἄνδρας ἀθλίους ἐφιλοτιμεῖτο ἀπάγειν, ἤδη τυμβογέροντας ὄντας καὶ εἰς γῆν κεκυφότας καί που, πρὶν ἢ καὶ πληγῆναι, γινομένους τοῦ Χάρωνος οἷς τῷ δέει παρίεντο, καὶ γραῦς δὲ τὰς πλείους καὶ ἐξ ὀμμάτων οὔσας καὶ κωφευούσας διὰ βαθὺ γῆρας, καὶ οὔτε

17. ὀξέας T (i. e. editio Tafeliana)

